§. 2. Οἱ γὰρ δρῶντες ... ἐπέρχονται, ii enim, qui (iniqua) agunt (qui sunt Athenienses), re deliberata in incertos sententiae, iam nunc, non postea demum invadunt (iam invadunt, non postea demum invasuri sunt). Cf. I, 42. φανερὰν ἔχθραν ἤδη καὶ οὐ μέλλουσαν κτήσασθαι. Unam difficultatem parit δρῶντες, ad quod durius ex ἀδικούμεθα repetas ἄδικα. Incessit igitur nos aliquando cogitatio οἱ non cum δρῶντες arcte iungendum esse, sed articulum ante γάρ, ut saepe ante δέ (cf. adn. 37, 2.), pronominis demonstrativi locum tenere. Vertebamus ergo sic: illi (Athenienses) enim agentes re deliberata contra incertos, ut πρός cum δρῶντες cohaereret. Et similiter Haas. At quoniam Athenienses in iis, quae antecedunt, non nominati sunt, et paulo post §. 3. nomine proprio designantur, ille usus articuli iam per se dubius ferri vix potest.

§. 3. Διὰ τὸ ἀναίσθητον ὑμῶν. Cf. adn. 6, 3. Invidiosiore nomine Corinthii appellant τὴν ἀμαθίαν Lacedaemoniorum 68, 1. indicatam.

εἰδότας περιορᾷν ἰσχυρῶς ἐγκείσονται. ἡσυχάζετε 4
*[μὲν] γὰρ μόνοι Ἑλλήνων, ὦ Λακεδαιμόνιοι, οὐ
τῇ δυνάμει τινά, ἀλλὰ τῇ μελλήσει ἀμυνόμενοι,
καὶ μόνοι οὐκ ἀρχομένην τὴν αὔξησιν τῶν
ἐχθρῶν, διπλασιουμένην δὲ καταλύοντες. καίτοι* 5
*ἐλέγεσθε ἀσφαλεῖς εἶναι, ὧν ἄρα ὁ λόγος τοῦ
ἔργου ἐκράτει. τόν τε γὰρ Μῆδον αὐτοὶ ἴσμεν ἐκ
περάτων γῆς πρότερον ἐπὶ τὴν Πελοπόννησον
ἐλθόντα ἢ τὰ παρ' ὑμῶν ἀξίως προαπαντῆσαι,
καὶ νῦν τοὺς Ἀθηναίους οὐχ ἑκάς, ὥςπερ ἐκεῖνον,
ἀλλ' ἐγγὺς ὄντας περιορᾶτε, καὶ ἀντὶ τοῦ ἐπελ-
θεῖν αὐτοὶ ἀμύνεσθαι βούλεσθε μᾶλλον ἐπιόντας,
καὶ ἐς τύχας πρὸς πολλῷ δυνατωτέρους ἀγωνι-
ζόμενοι καταστῆναι, ἐπιστάμενοι καὶ τὸν βάρ-
βαρον αὐτὸν περὶ αὑτῷ τὰ πλείω σφαλέντα, καὶ*

§. 4. *Ἡσυχάζετε [μὲν] γάρ. Μέν*, quod vulgo abest, additur in Cass. Aug. Cl. Ven. Cf. de eo Rost. Gr. §. 134. 6. cc.

§. 4. *Οὐ τῇ δυνάμει ... ἀμυνόμενοι*, non vi armata, sed minando aliquem ulciscentes, vel vos ab aliquo defendentes. De voce *μέλλησις*, quam cunctationem alii interpretantur, vid. IV, 126. et Max. Planud. V. p. 488. Walz. Tum adnotandum verbum *διπλασιοῦσθαι*, quod pro usitatiore *διπλασιάζεσθαι* non inventum est alibi nisi apud Tzetzam. Vid. Steph. Thes.

§. 5. *Ἀσφαλεῖς*, cauti, ut interdum Lat. tutus. Cf. Schoem. ad Plut. Cleom. 21, 4. — *ὧν* est masculinum, non, id quod Matth. Gr. §. 439. et Kuehn. Gr. §. 785. adn. putant, neutrum, et pendet ex v. *ὁ λόγος*. Cf. adn. c. 61. init. et II, 42, 1. — *τοῦ ἔργου ἐκράτει*. Vid. Matth. Gr. §. 359. adn. 1. — *τὸν ... Μῆδον*, regem Persarum (Xerxem). Cf. III, 54. VI, 17. 77. 82. Infra *ὁ βάρβαρος*. Cf. adn. c. 14. Ita apud Xen. in Cyr. saepissime *ὁ Ἀρμένιος, ὁ Ἀσσύριος*. Cf. Bernh. Synt. p. 68. et de Latinis Drak. ad Liv. IV, 10. et Kritz. ad Sal. Iug. c. 81. — *προαπαντῆσαι*. Infinitivus post *πρότερον ἤ* ita positus est, ut vulgo post *πρίν*. Cf. VI, 58. Plut. Artax. c. 9. Rost. Gr. §. 121. adn. 2. Similiter post *ὕστερον ἤ* VI, 4. — *ἐς τύχας ... καταστῆναι*, fortunae casus subire. Praeterea in vv. *πρὸς πολλῷ δυνατωτέρους* attende praepositionem a casu suo avulsam interposito casu adverbiali. Cf. II, 43. *πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας*, II, 89. *ἐκ πολλῷ ὑποδεεστέρων*. Cf. Matth. Gr. §. 595. Funckhaen. ad Demosth. c. Androt. §. 44. — *ἐπιστάμενοι*, i. e. *καίπερ ἐπιστάμενοι*. Cf. VI, 9. et adn. 136, 3. — *περὶ αὑτῷ τὰ πλείω σφα-*

*πρὸς αὐτοὺς τοὺς Ἀθηναίους πολλὰ ἡμᾶς ἤδη τοῖς
ἁμαρτήμασιν αὐτῶν μᾶλλον ἢ τῇ ἀφ' ὑμῶν τι-
μωρίᾳ περιγεγενημένους· ἐπεὶ αἵ γε ὑμέτεραι
ἐλπίδες ἤδη τινάς που καὶ ἀπαρασκεύους διὰ τὸ*
6 *πιστεῦσαι ἔφθειραν. καὶ μηδεὶς ὑμῶν ἐπ' ἔχθρᾳ
τὸ πλέον ἢ αἰτίᾳ νομίσῃ τάδε λέγεσθαι· αἰτία
μὲν γὰρ φίλων ἀνδρῶν ἐστὶν ἁμαρτανόντων,
κατηγορία δὲ ἐχθρῶν ἀδικησάντων.*
1 **70.** *Καὶ ἅμα, εἴπερ τινὲς καὶ ἄλλοι, νομίζο-
μεν ἄξιοι εἶναι τοῖς πέλας ψόγον ἐπενεγκεῖν,
ἄλλως τε καὶ μεγάλων τῶν διαφερόντων καθεστώ-
των, περὶ ὧν οὐκ αἰσθάνεσθαι ἡμῖν γε δοκεῖτε,
οὐδ' ἐκλογίσασθαι πώποτε, πρὸς οἵους ὑμῖν Ἀθη-
ναίους ὄντας καὶ ὅσον ὑμῶν καὶ ὡς πᾶν δια-*

ἀπολογησάμενοι δὲ ὑπὲρ αἰτίας φίλων ἀνδρῶν παραβάλλουσι τοὺς Λακεδαιμονίους πρὸς τοὺς Ἀθηναίους.

λέντα. Περὶ αὑτῷ, propr. circa se tanquam scopulum, i. e. sua culpa. Cf. VI, 33. et Matth. Gr. §. 589. b. p. 1383. *Τὰ πλείω σφαλέντα* ut *οὐκ ἐλάσσω πταίειν* c. 122, et saepe *ἁμαρτάνειν*, cf. adn. I, 38. De re Schol.: *ἐν τῷ στενῷ τῆς Σαλαμῖνος τολμήσαντα ναυμαχῆσαι.* — *πρὸς ... Ἀθηναίους*, adversus ipsos Athenienses, i. e. *ἐν τοῖς πρὸς ... Ἀθηναίους πολέμοις*. Tum *περιγεγενημένους* absolute accipiendum, superiores fuisse. Denique *πολλά* adverbialiter positum est. — *αἱ ... ὑμέτεραι ἐλπίδες*, spes in vobis positae. Vid. adn. 33, 3. Deinde *τινάς* fortasse ad Thasios (vid. I, 101.) et Euboenses (vid. I, 114.) spectat, saltem ad Potidaeatas (vid. I, 58.) — *καὶ ἀπαρασκεύους διὰ τὸ πιστεῦσαι*, propter fiduciam in vobis positam vel imparatos (quum propter fid. illam vel imparati resistere [Atheniensibus auderent.) Frustra haec tentat Haas.

§. 6. *Καὶ μηδείς*. Hinc novum caput rectius inciperet. — *αἰτία ... κατηγορία*. „Nemo alius ista duo distinxit unquam. Xen. Comm. Socr. I, 2. *τούτου Σωκράτην ὁ κατήγορος αἰτιᾶται*, et Pollux iungit VIII, 6. [§. 30. Cf. Demosth. de Cor. §. 12.] Si *μέμψιν* amicis tribuisset, obiurgationem [quo nomine hic exprimas cum Cic. de Off. I, 38.], expostulationem, ferrem facilius.“ BAU. *Κατηγορίας* tamen vocabulo loquendi usum, imprimis forensem, inimicae accusationis significationem dedisse Isocratis Paneg. c. 36. loco doceri, *αἰτίαν* autem latius patere adnotat Krueg. *Αἰτίαν* aliter definit Demosth. in Androt. §. 22.

Cap. LXX. §. 1. *Εἴπερ τινὲς καὶ ἄλλοι*. Cf. Matth. Gr. §. 617. e. — *μεγάλων τῶν διαφερόντων καθεστώτων*, quum de magni momenti rebus agatur, Port. Cf. adn. 68, 2. — *πρὸς οἵους ὑμῖν* iungenda cum vv. *ὁ ἀγὼν ἔσται*. — *ὅσον ... καὶ ὡς πᾶν*. Cf. Matth. Gr. §. 425.

φέροντας ὁ ἀγὼν ἔσται. οἱ μέν γε νεωτεροποιοί, 2
καὶ ἐπινοῆσαι ὀξεῖς καὶ ἐπιτελέσαι ἔργῳ ὃ ἂν
γνῶσιν· ὑμεῖς δὲ τὰ ὑπάρχοντά τε σώζειν καὶ
ἐπιγνῶναι μηδὲν καὶ ἔργῳ οὐδὲ τἀναγκαῖα ἐξικέ-
σθαι. αὖθις δὲ οἱ μὲν καὶ παρὰ δύναμιν τολμηταὶ 3
καὶ παρὰ γνώμην κινδυνευταὶ καὶ ἐπὶ τοῖς δεινοῖς
εὐέλπιδες· τὸ δὲ ὑμέτερον τῆς τε δυνάμεως ἐνδεᾶ
πρᾶξαι, τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις πι-
στεῦσαι, τῶν τε δεινῶν μηδέποτε οἴεσθαι ἀπο-
λυθήσεσθαι. καὶ μὴν καὶ ἄοκνοι πρὸς ὑμᾶς 4
μελλητὰς καὶ ἀποδημηταὶ πρὸς ἐνδημοτάτους·

Cap. LXX. §. 3. *Ἐπί* ex optimis membranis recepit Bekk. Vulgo *ἐν*, quod et Dionysius Hal. p. 808. atque 811. et Schol. Hermog. IV. p. 750. et Schol. Aristid. p. 83. denique imitator Procopius tuentur, et aliis exemplis defendit Bloomf.

§. 2. *Οἱ μέν γε.* Sequitur per tres deinceps paragraphos egregia comparatio Atheniensium et Lacedaemoniorum per *ἀντιθέσεις καὶ παρισώσεις*. De Lacedaemoniorum illius temporis ingenio cf. Kortuem. Respubl. Gr. p. 68—76. Muell. Dor. II. p. 5. sqq., de Atheniensium Wachsm. Antiqu. Gr. I. 2. p. 27. et 173. — *ἐπινοῆσαι ... γνῶσιν.* Haec imitationibus multorum insignia facta sunt. Cf. ed. mai. *Ἐπινοῆσαι* est excogitare, nova invenire. Simile est paulo post *ἐπιγιγνώσκειν*. *Ἐξικέσθαι*, ut §. 7. *ἐξελθεῖν* et saepius *ἐπεξελθεῖν*, valet exsequi, *πρᾶξαι*.

§. 3. *Αὖθις δὲ οἱ μέν —.* Ea, quae sequuntur, vituperat Dion. Hal. p. 808, sed ob nervos et concinnitatem orationis complures imitati sunt. Vid. ed. mai. et cf. VIII, 96. — *παρὰ δύναμιν τολμηταί*, supra vires audaces, quibus verbis haec reddidit Liv. XLV, 23. Cf. Matth. Gr. §. 588. b. ζ'. — *παρὰ γνώμην.* Horum minus certa est sententia. Praeter consilium, i. e. ultra id, quod initum consilium suadet, interpretatur Steph. Thes. II. p. 677, praeter rationem Haas. ihrer Einsicht zuwider Heilm. ad IV, 19. Plerumque aut contra animi sententiam aut praeter opinionem (VI, 11.) valent, quae notiones hic non sunt aptae. — *τὸ δὲ ὑμέτερον*, vestra vero ratio est. — *τῆς δυνάμεως ἐνδεᾶ*, viribus vestris inferiora. Cf. Elmsl. ad Eur. Heracl. v. 171. et infra I, 102. — *τῆς γνώμης τοῖς βεβαίοις*, exploratis animi consiliis. Insolentior quidem pluralis (vid. Heilm. ad I, 77. et apud nos in ed. mai.), rectus tamen. Vid. Matth. Gr. §. 442. 4.

§. 4. *Μελλητάς.* Cf. 69, 4. et c. 84. — *ἀποδημηταί*] „ἤγουν ἀποδημοῦσι τῆς οἰκείας πατρίδος, καὶ ἐπιδημοῦσι δήμοις ἀλλοτρίοις." Schol. Hoc substantivum a Thuc. videtur factum esse nec alibi inveniri. — *τῇ ἀπουσίᾳ*] ἐκδημοῦντες εἰς ἐκστρατείας. ΔΟΥΚΑΣ. Quare respondet ei paulo post τὸ

οἴονται γὰρ οἱ μὲν τῇ ἀπουσίᾳ ἄν τι κτᾶσθαι,
ὑμεῖς δὲ τῷ ἐπελθεῖν καὶ τὰ ἕτοιμα ἂν βλάψαι.
5 κρατοῦντές τε τῶν ἐχθρῶν ἐπὶ πλεῖστον ἐξέρ-
χονται, καὶ νικώμενοι ἐπ' ἐλάχιστον ἀναπί-
6 πτουσιν. ἔτι δὲ τοῖς μὲν σώμασιν ἀλλοτριω-
τάτοις ὑπὲρ τῆς πόλεως χρῶνται, τῇ γνώμῃ δὲ
7 οἰκειοτάτῃ ἐς τὸ πράσσειν τι ὑπὲρ αὐτῆς. καὶ ἃ
μὲν ἂν ἐπινοήσαντες μὴ ἐξέλθωσιν, οἰκεῖα στέ-
ρεσθαι ἡγοῦνται· ἃ δ' ἂν ἐπελθόντες κτήσωνται,
ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖν πράξαντες. ἢν δ'
ἄρα του καὶ πείρᾳ σφαλῶσιν, ἀντελπίσαντες ἄλλα

§. 7. *Ἄρα του καί.* Bekk. ex It. Vat. H. Reg. *ἄρα καί του*. Quibus paucis libris obtemperandum non putavimus, quum *τοῦ* contrarium *ἄλλοις* bene locum ante *καί* occupare videatur. Cf. *ἢν ἄρα τι καί* I, 140, *ἤν τις καί* VIII, 2. al. Ceterum II, 43. *καὶ ὁπότε καὶ πείρᾳ του σφαλείησαν*.

ἐπελθεῖν, aggredi hostes, non *τὸ ἀπελθεῖν*, quod in uno malo libro ms. invenitur. — *τὰ ἕτοιμα*] „τὰ ὑπάρχοντα." Schol. Cf. VI, 10.

§. 5. *Ἐπὶ πλεῖστον ἐξέρχονται*, longissime progrediuntur. Si verba explicanda essent longissime victoriam persequuntur, ex tribus pessimis membranis scribendum esset *ἐπεξέρχονται* (suppl. *τῷ κρατεῖν*). Cf. IV, 14. — *ἀναπίπτουσιν.* Athenaeus I, 42. τὸ ἀναπίπτειν ... ἐπὶ ψυχῆς ἐστὶν οἷον ἀθυμεῖν. Θουκυδίδης πρώτῃ· νικώμενοι ... ἀναπίπτουσιν. Cf. Eustath. p. 1641, 7. Rom. et Suid. Contra consuetudinem loquendi alii ob contrarium *ἐξέρχονται* interpretantur recedunt. Pro *ἀθυμεῖν* etiam Plut. Cleom. c. 5. et al.

§. 6. *Τοῖς μὲν σώμασιν ἀλλοτριωτάτοις ... χρῶνται*, corporibus tanquam alienissimis pro civitate utuntur, „h. e. corpora pro urbe obiectant, tanquam sint non sua, sed alienissima; n. non parcunt corpori, vilipendentes illud in discriminibus belli subeundis. Sic fere Morus ad Isocr. Pan. c. 24." GOTTL. *Ὡς*, quod plerique ad similia dicta adiecerunt (vid. Bloomf.), et in Lysiae Orat. fun. V. p. 87. Reisk. verbis similibus *τὰς μὲν ψυχὰς ἀλλοτρίας ... κεκτῆσθαι* omissum est, et alibi apud *χρῆσθαί τινί τινι*, tractare aliquem aliquo modo, ut Xen. Comm. Socr. II, 1, 12. 30. ubi vid. Saupp. — *τῇ γνώμῃ δὲ οἰκειοτάτῃ*, animo vero quam maxime proprio seu iudicio quam maxime suo utuntur, i. e. consiliorum suorum quisque sunt tenacissimi. Ita haec accipienda esse, ne vis contrapositorum pereat, docent Doederl. et Goell. De collocatione partic. *δέ* vid. Rost. Gr. §. 134. adn. 5.

§. 7. *Ἐξέλθωσιν.* Cf. adn. §. 2. et III, 108. — *ὀλίγα ... πράξαντες*, exigua ad futura (i. e. si cum futuris comparentur) se peregisse (iudicant). Iunge igitur (*ἡγοῦνται*) *τυχεῖν πράξαντες* (i. e. *πρᾶξαι*) *ὀλίγα*. *Πρός*

ἐπλήρωσαν τὴν χρείαν. μόνοι γὰρ ἔχουσί τε ὁμοίως καὶ ἐλπίζουσιν ἃ ἂν ἐπινοήσωσι διὰ τὸ ταχεῖαν τὴν ἐπιχείρησιν ποιεῖσθαι ὧν ἂν γνῶσι.
καὶ ταῦτα μετὰ πόνων πάντα καὶ κινδύνων δι' 8
ὅλου τοῦ αἰῶνος μοχθοῦσι· καὶ ἀπολαύουσιν ἐλάχιστα τῶν ὑπαρχόντων διὰ τὸ ἀεὶ κτᾶσθαι καὶ μήτε ἑορτὴν ἄλλο τι ἡγεῖσθαι ἢ τὸ τὰ δέοντα πρᾶξαι, ξυμφοράν τε οὐχ ἧσσον ἡσυχίαν ἀπράγμονα ἢ
ἀσχολίαν ἐπίπονον. ὥςτε εἴ τις αὐτοὺς ξυνελὼν 9
φαίη πεφυκέναι ἐπὶ τῷ μήτε αὐτοὺς ἔχειν ἡσυχίαν, μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾶν, ὀρθῶς ἂν εἴποι.

εἶτα ἀποδεικνύασιν, ὅτι νῦν ἡσυχία καὶ ἀκίνητα νόμιμα οὐκ ἔστιν ἐπιτήδεια, καὶ ἐν τοῖς ἐπιλόγοις (ἀπὸ τῆς §. δ΄) παραινοῦσι πολεμεῖν.

71. *Ταύτης μέντοι τοιαύτης ἀντικαθεστηκυίας* 1
πόλεως, ὦ Λακεδαιμόνιοι, διαμέλλετε, καὶ οἴεσθε τὴν ἡσυχίαν οὐ τούτοις τῶν ἀνθρώπων ἐπὶ πλεῖστον ἀρκεῖν, οἳ ἂν τῇ μὲν παρασκευῇ δίκαια πράσσωσι, τῇ δὲ γνώμῃ, ἢν ἀδικῶνται, δῆλοι ὦσι μὴ ἐπιτρέψοντες, ἀλλ' ἐπὶ τῷ μὴ λυπεῖν τε ἄλλους καὶ αὐτοὶ ἀμυνόμενοι μὴ βλάπτεσθαι τὸ
2 *ἴσον νέμετε. μόλις δ' ἂν πόλει ὁμοίᾳ παροικοῦντες ἐτυγχάνετε τούτου· νῦν δ', ὅπερ καὶ ἄρτι ἐδηλώσαμεν, ἀρχαιότροπα ὑμῶν τὰ ἐπιτηδεύματα πρὸς αὐτούς ἐστιν. ἀνάγκη δ' ὥςπερ τέχνης*
3 *ἀεὶ τὰ ἐπιγιγνόμενα κρατεῖν· καὶ ἡσυχαζούσῃ μὲν πόλει τὰ ἀκίνητα νόμιμα ἄριστα, πρὸς πολλὰ δὲ ἀναγκαζομένοις ἰέναι πολλῆς καὶ [τῆς] ἐπιτεχνήσεως δεῖ. διόπερ καὶ τὰ τῶν Ἀθηναίων ἀπὸ τῆς πολυπειρίας ἐπὶ πλέον ὑμῶν κεκαίνωται.*
4 *μέχρι μὲν οὖν τοῦδε ὡρίσθω ὑμῶν ἡ βραδυτής·*

Cap. LXXI. §. 3. *Πολλῆς καὶ [τῆς] ἐπιτεχνήσεως*. *Τῆς* om. in membranis praestantissimis; sed vid. I. 35, 5. 52, 2. III, 23. VI, 46. extr. VII, 71. init. Bernh. Synt. p. 334.

sic rursus c. 71. et saepe. Vid. Matth. Gr. §. 591. c. δ΄. Cum sententia cf. IV, 55. — *ἐπλήρωσαν τὴν χρείαν*, defectum explent, so ersetzen sie ihren Schaden, füllen die Lücke des fehlgeschlagenen Versuches aus. De aoristo vid. Matth. Gr. §. 502. 3. Rost. §. 116. adn. 4. Cf. infra 84, 2.

§. 8. *Καὶ μήτε ἑορτὴν ... ἡγεῖσθαι*, nec aliud quicquam diem festum putant. *Ἑορτήν*, ut nostrum Fest, delicias, voluptatem significare docere studet Reisk., et *εὐδαιμονίαν* utique substituit Dio Cass. verba imitatus XXXVIII, 37. nec male Wass. comparavit Ev. Ioa. IV, 34. *ἐμὸν βρῶμά ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντος ἐμέ*. Simul tamen Thucydidem *αἰνίττεσθαι [εἰς] τοὺς Λάκωνας, οἵτινες ἐν ἑορτῇ* (vel certe nonnullis diebus festis, cf. Muell. Dor. II. p. 247. sq.) *οὐκ ἐστράτευον*, adnotat Schol., quod propter proxima, quibus eorundem disciplina severa notari videtur, non abhorret a verisimilitudine. *ἡσυχίαν ἀπράγμονα*, iners otium. — *ἀσχολίαν ἐπίπονον*. Ab hac quoque Athenienses, aliter atque Lacedaemonios, refugisse apparet ex II, 39.

§. 9. *Ξυνελών*, paucis rem totam complexus. Cf. II, 41. III, 40. Tum *ἐπὶ τῷ* recte poterant abesse. Cf. Matth. Gr. §. 531. 1. p. 1230. Ad *ἐᾶν* suppl. *ἔχειν ἡσυχίαν*.

Cap. LXXI. §. 1. *Οἴεσθε τὴν ἡσυχίαν οὐ τούτοις* —. Propter hoc initium oratio postea sic debebat procedere, *ἀλλ' οἳ ἂν ... νέμωσι*. Quam quum variaverit scriptor, et verbum *νέμειν* ad ipsos Lacedaemonios transtulerit, factum est, ut *οὐ* ante *οἴεσθε* collocandum fuisse videatur. — *ἐπὶ πλεῖστον ἀρκεῖν*, diutissime suppetere, i. e. permanere. Cf. Xen. Cyr. VI, 2, 31. — *τῇ μὲν παρασκευῇ δίκαια πράσσωσι*, apparatu suo iusta faciant, i. e. licet satis magnum apparatum bellicum comparaverint, eo non permoveantur ad alios lacessendos atque aggrediendos. — *τῇ δὲ γνώμῃ ... ἐπιτρέψοντες*, sed quos pateat eo esse animo, ut, si lacessantur, iniuriam non sint neglecturi. — *ἀλλ' ἐπὶ τῷ ... νέμετε*, sed aequitatem colitis (propr. administratis, cf. I, 120.) ita (propr. hac conditione), ut et alios non laedatis, et ipsi, dum iniurias propulsetis, damnum non patiamini. Sententia haec est: vos vero iniuriam non modo non infertis, sed ne defenditis quidem a vobis, si metuendum sit, ne detrimentum defensione accipiatis, in eoque agendi modo iustitiam ponitis.

§. 2. *Ὁμοίᾳ*, i. e. *ὁμοιοτρόπῳ*, sive, ut Schol., *τὰ ἴσα ζηλούσῃ*. Cf. III, 40. — *ἄρτι*. 70, 2. — *ἀρχαιότροπα ... ἐστίν*, vestra instituta ad illos (si cum illis comparantur) prisca (et obsoleta) sunt. *Πρὸς αὐτούς* solita in comparationibus brevitate dicta sunt pro plenioribus *πρὸς τὰ ἐπιτηδεύματα αὐτῶν*. Cf. Matth. Gr. §. 453. adn. 1. et Walch. ad Tac. Agric. c. 12. et §. 3. De ipso *πρός* vid .70, 7. — *ἀνάγκη δὲ ... κρατεῖν*. Plene *ἀνάγκη δὲ ἀεὶ (καὶ ἐν τοῖς ἐπιτηδεύμασι) τὰ ἐπιγιγνόμενα κρατεῖν, ὥςπερ τέχνης ἀεὶ τὰ ἐπιγιγνόμενα κρατεῖ*. Similes sententias, ut Xen. Cyr. I, 6, 38. vide in ed. mai.

§. 3. *Ἡσυχαζούσῃ ... τὰ ἀκίνητα ... ἄριστα*. Cautius certe loquuntur quam Alcibiades VI, 18. extr. Cf. Aristot. Polit. II, 5. — *πρὸς πολλὰ ... ἰέναι*, multis negotiis implicari. — *ἐπιτεχνήσεως*. Respondet verbo *ἐπιγνῶναι* 70, 2, sed propter *τέχνης* commemorationem, quae antecedit, exquisite positum est. Significat igitur artis incrementa, novam sollertiam (ut nova instituta condantur, vetera emendentur). — *ἐπὶ πλέον ὑμῶν*, i. e. *τῶν ὑμῶν, τῶν ὑμετέρων*. Cf. adn. §. 2.

§. 4. *Μέχρι ... τοῦδε ὡρίσθω ... βραδυτής*, hactenus progressu terminata esto (finem habeat) ve-

νῦν δὲ τοῖς τε ἄλλοις καὶ Ποτιδαιάταις, ὥςπερ
ὑπεδέξασθε, βοηθήσατε κατὰ τάχος ἐςβαλόντες
ἐς τὴν Ἀττικήν, ἵνα μὴ ἄνδρας τε φίλους καὶ
ξυγγενεῖς τοῖς ἐχθίστοις πρόησθε, καὶ ἡμᾶς τοὺς
ἄλλους ἀθυμίᾳ πρὸς ἑτέραν τινὰ ξυμμαχίαν
τρέψητε. δρῷμεν δ' ἂν ἄδικον οὐδὲν οὔτε πρὸς 5
θεῶν τῶν ὁρκίων οὔτε πρὸς ἀνθρώπων τῶν
αἰσθανομένων· λύουσι γὰρ σπονδὰς οὐχ οἱ δι'
ἐρημίαν ἄλλοις προσιόντες, ἀλλ' οἱ μὴ βοηθοῦν-
τες οἷς ἂν ξυνομόσωσι. βουλομένων δὲ ὑμῶν 6
προθύμων εἶναι μενοῦμεν· οὔτε γὰρ ὅσια ἂν
ποιοῖμεν μεταβαλλόμενοι, οὔτε ξυνηθεστέρους ἂν
ἄλλους εὕροιμεν. πρὸς τάδε βουλεύεσθε εὖ, καὶ 7
τὴν Πελοπόννησον πειρᾶσθε μὴ ἐλάσσω ἐξηγεῖ-
σθαι, ἢ οἱ πατέρες ὑμῖν παρέδοσαν."

§. 4. *Ποτιδαιάταις.* Cass. Aug. Cl. Ven. *τοῖς Ποτιδ.*, ne id quidem male. Cf. ed. mai.

Πρόησθε. Bekk. *προῆσθε.* Cf. Goettl. Doctr. accent. p. 95, sed etiam III, 14. et de *τίθεσθαι* sd. 33, 1.

stra tarditas. Cf. Plat. Menex. c. 9. *Δαρεῖος μέχρι Σκυθῶν τὴν ἀρχὴν ὡρίσατο*, et Appi. Mithr. c. 114. Manifesta breviloquentia. Dicitur etiam *ὁρίζειν ἔς τι* III, 82. De imperativo perfecti cf. Rost. Gr. §. 124. 4. — *ξυγγενεῖς*] „*Δωριεῖς γὰρ οἱ Ποτιδαιᾶται.*" Schol. — *καὶ ἡμᾶς ... τρέψητε*, „ne nos desperatione ad aliam aliquam societatem vertatis, i. e. compellatis, faciatis, ut eo vertamur. — *ἑτέραν τινά*] „*πρὸς τοὺς Ἀργείους· ἐχθροὶ γὰρ ἦσαν τοῖς Λακεδαιμονίοις.*" a Schol.

§. 5. *Πρὸς θεῶν*, iudicio deorum. Cf. Matth. Gr. §. 590. p. 1386. Buttm. §. 147. p. 42. — *θεῶν τῶν ὁρκίων.* Foederum arbitros ac testes vocat Liv. XXI, 10. Cf. c. 78. II, 71. — *τῶν αἰσθανομένων*, i. e. *αἴσθησιν ἐχόντων, φρονίμων.* Cf. V, 26. Adhuc ita loqui Graecos docet Did. Similiter *δύνασθαι* esse *δύναμιν ἔχειν* vidimus I, 18. 33. — *οἷς ἂν ξυνομόσωσι.* De societate inita etiam alibi legitur, ut III, 63.

§. 7. *Πρὸς τάδε* aut ad haec, secundum haec, aut propterea. Vid. Matth. Gr. §. 591. *β'* et *γ'*. et IV, 14. — *τὴν Πελοπόννησον ... μὴ ἐλάσσω ἐξηγεῖσθαι*, studete Peloponneso ita praeesse, ut ea non minor sit. De accusativo *τὴν Πελοπ.* vid. Matth. Gr. §. 360. adn. 2. b. et VI, 85, *ἐλάσσω* solvas in *ὥςτε εἶναι ἐλάσσω*, nisi Heilmannum audire mavis, qui duplicis accusativi causam hanc esse vult, quia haec breviter dicta sint pro vv. *τὴν Πελοπόννησον ἐλάσσω καταστῆσαι ἐξηγουμένους.* *Ἐξηγεῖσθαι* de iis, qui principatum habent, etiam I, 76. 95. al. legitur. Admonentur Lacedaemonii, ut, quum principatum Peloponnesi habeant, etiam gloriam et auctoritatem eius terrae pristinam tueantur.

1 72. Τοιαῦτα μὲν οἱ Κορίνθιοι εἶπον. τῶν δὲ
Ἀθηναίων ἔτυχε γὰρ πρεσβεία πρότερον ἐν τῇ
Λακεδαίμονι περὶ ἄλλων παροῦσα, καὶ ὡς ᾔσθοντο
τῶν λόγων, ἔδοξεν αὐτοῖς παριτητέα ἐς τοὺς
Λακεδαιμονίους εἶναι, τῶν μὲν ἐγκλημάτων πέρι
μηδὲν ἀπολογησομένους, ὧν αἱ πόλεις ἐνεκάλουν,
δηλῶσαι δὲ περὶ τοῦ παντός, ὡς οὐ ταχέως
αὐτοῖς βουλευτέον εἴη, ἀλλ' ἐν πλείονι σκεπτέον·
καὶ ἅμα τὴν σφετέραν πόλιν ἐβούλοντο σημῆναι,
ὅση εἴη δύναμιν, καὶ ὑπόμνησιν ποιήσασθαι τοῖς
τε πρεσβυτέροις ὧν ᾔδεσαν, καὶ τοῖς νεωτέροις
ἐξήγησιν ὧν ἄπειροι ἦσαν, νομίζοντες μᾶλλον
ἂν αὐτοὺς ἐκ τῶν λόγων πρὸς τὸ ἡσυχάζειν
2 τραπέσθαι ἢ πρὸς τὸ πολεμεῖν. προςελθόντες
οὖν τοῖς Λακεδαιμονίοις ἔφασαν βούλεσθαι καὶ
αὐτοὶ ἐς τὸ πλῆθος αὐτῶν εἰπεῖν, εἴ τι μὴ ἀπο-
κωλύει. οἱ δ' ἐκέλευόν τε ἐπιέναι, καὶ παρελθόν-
τες οἱ Ἀθηναῖοι ἔλεγον τοιάδε.

τῶν Ἀθηναίων πρέσβεις, οἳ ἔτυχον παρόντες, καὶ αὐτοὶ λόγον ποιήσασθαι γιγνώσκουσι.

Cap. LXXII. §. 1. *Ποιήσασθαι.* Cass. Aug. Pal. It. Vat. H. *ποιήσεσθαι*, non prorsus contra leges sermonis. Vid. Matth. Gr. §. 506. VI. Rost. Gr. §. 116. adn. 7. b. infra VI, 57. 101. Vulgata fulcitur simillimo loco II, 88.

§. 2. *Ἀποκωλύει* Cass. Aug. Cl. Ven. al. Cf. Matth. Gr. §. 529.

Cap. LXXII. §. 1. *Τῶν δὲ Ἀθηναίων ἔτυχε γάρ.* Cf. Matth. Gr. §. 615. p. 1465. et §. 630. h. p. 1523. Bernh. Synt. p. 465. infra I, 115. VIII, 30. — *ᾔσθοντο.* Intell. *οἱ πρέσβεις.* — *ἀπολογησομένους.* Accusativus refertur ad *σφᾶς*, quod cogitatur obscurius apud *παριτητέα εἶναι.* Cf. Matth. Gr. §. 447. 4. — *δηλῶσαι δέ.* Mutata est oratio. Cf. Matth. Gr. §. 532. c. — *τὴν ... πόλιν ... σημῆναι, ὅση εἴη.* Cf. Matth. Gr. §. 296. 3.

§. 2. *Τοῖς Λακεδαιμονίοις.* Quum discernantur a *τῷ πλήθει αὐτῶν*, magistratus, maxime Ephori, intelligendi sunt. — *ἐς.* Cf. adn. c. 23. extr. — *εἴ τι μή* pro legitimis *εἰ μή τι*, nisi quid. Cf. Plat. Crat. p. 433. C. Xen. Hell. VI, 4, 2. in ed. Francof. ad VI, 18. Similiter *εἰ μὴ καί* eadem vi qua *εἰ καὶ μή* II, 11, 6. VI, 60.

§. 3. *Ἐπιέναι, καὶ παρελθόντες.* Hic quidem Haackium secutus haec verba ita distinguas, ut *ἐπιέναι* sit adire, accedere (*ἐπὶ τὸ πλῆθος*, cf. I, 90. 91.), *παρελθεῖν* ad dicendum prodire; legitur tamen et illud pro hoc I, 119, et hoc pro illo §. 1. in v. *παριτητέα*, cui respondet *προςελθόντες* §. 2. — *ἔλεγον.* De imperfecto verborum dicendi idem adnotandum,

λόγος τῶν Ἀθηναίων, οἳ μετὰ προοίμιον (§. α΄) πρῶτον ἀποφαίνουσιν, ὅτι ἄξιοί εἰσι τῆς ἀρχῆς διὰ τὴν ἀρετὴν τὴν ἐν τοῖς Μηδικοῖς.

1 **73.** „Ἡ μὲν πρέσβευσις ἡμῶν οὐκ ἐς ἀντιλογίαν τοῖς ὑμετέροις ξυμμάχοις ἐγένετο, ἀλλὰ περὶ ὧν ἡ πόλις ἔπεμψεν· αἰσθόμενοι δὲ καταβοὴν οὐκ ὀλίγην οὖσαν ἡμῶν παρήλθομεν, οὐ τοῖς ἐγκλήμασι τῶν πόλεων ἀντεροῦντες (οὐ γὰρ παρὰ δικασταῖς ὑμῖν οὔτε ἡμῶν οὔτε τούτων οἱ λόγοι ἂν γίγνοιντο), ἀλλ' ὅπως μὴ ῥᾳδίως περὶ μεγάλων πραγμάτων τοῖς ξυμμάχοις πειθόμενοι χεῖρον βουλεύσησθε, καὶ ἅμα βουλόμενοι περὶ τοῦ παντὸς λόγου τοῦ ἐς ἡμᾶς καθεστῶτος δηλῶσαι, ὡς οὔτε ἀπεικότως ἔχομεν ἃ κεκτήμεθα, ἥ τε πόλις ἡμῶν ἀξία λόγου ἐστί.
2 καὶ τὰ μὲν πάνυ παλαιὰ τί δεῖ λέγειν, ὧν ἀκοαὶ μᾶλλον λόγων μάρτυρες ἢ ὄψις τῶν ἀκουσομένων; τὰ δὲ Μηδικὰ καὶ ὅσα αὐτοὶ ξύνιστε, εἰ καὶ δι' ὄχλου μᾶλλον ἔσται αἰεὶ προβαλλομένοις, ἀνάγκη λέγειν.

5. Rost. §. 123[b]. 6. a. In ceteris melioribus libris, ut Pal. It. Vat. H., *ἀποκωλύῃ*. Vulgo et Bekk. *ἀποκωλύοι*.

Cap. LXXIII. §. 2. *Ὄψις* membranae paene omnes. Vulgo et Bekk. *ὄψεις* concinnitatis causa. At Tac. Ann. XIII, 5. (velum) quod *visum* arceret, *auditus* non adimeret, ubi frustra auditum scripserunt. Cf. Thuc. II, 81. III, 66. Pors. ad Eur. Phoen. v. 512.

quod de mittendi verbis ad c. 26. docuimus. Cf. *ἔλεγον* c. 124. et VI, 75. extr., *παρεκελεύετο* II, 90, *ἐκέλευε* III, 112. VII, 31. 65. VIII, 100. Cf. ad Xen. Anab. IV, 3, 13. et Sinten. ad Plut. Them. p. LI. sqq.

Cap. LXXIII. §. 1. *Πρέσβευσις.* Poeticum appellat Dion. Hal. p. 794. Aliud de eo iudicium exstat Gregorii Cor. p. 50. et hic Schol., et sine reprehensione bis commemoratur a Polluce IV, 26. VIII, 137. — *ἐς ἀντιλογίαν τοῖς ... ξυμμάχοις.* Cf. Matth. Gr. §. 390. Rost. §. 105. 6. — *καταβοήν.* Hoc quoque ut nimis poeticum reprehendit Dion. Hal. l. d., sed et ipse eo usus est aliquoties, et Appian. Plutarch. Ioseph. Dio Cass. Menand. hist. al. Redit VIII, 85. 87. — *παρήλθομεν.* Aoristus pro perfecto. Cf. Rost. Gr. §. 117. adn. a. Buttm. §. 137. 3. infra 120, 1. al.

§. 2. *Τὰ πάνυ παλαιά*] „*τὰ κατὰ Ἀμαζόνας καὶ Θρᾷκας καὶ Ἡρακλείδας φησίν.*“ Schol. — *ὧν ... μάρτυρες.* *Ὧν* pendet ex v. *μάρτυρες* et *ἀκοαὶ λόγων* sunt *λόγοι ἀκουσθέντες.* — *εἰ καὶ ... προβαλλομένοις*, quamvis (haec nobis) semper proferentibus molestiora (quam gratiora) futura sint. De verbis *δι' ὄχλου εἶναι* vid. Matth. Gr. §. 580. e. Stallb. ad Plat. Alcib. I. init. et hic Bloomf. *Ἀεὶ προβαλλομένοις* semper proferentibus, non, ut alii, semper

καὶ γὰρ ὅτε ἐδρῶμεν, ἐπ' ὠφελίᾳ ἐκινδυνεύετο, ἧς τοῦ μὲν ἔργου μέρος μετέσχετε, τοῦ δὲ λόγου
3 μὴ παντός, εἴ τι ὠφελεῖ, στερισκώμεθα. ῥηθήσεται δὲ οὐ παραιτήσεως μᾶλλον ἕνεκα ἢ μαρτυρίου καὶ δηλώσεως, πρὸς οἵαν ὑμῖν πόλιν μὴ
4 εὖ βουλευομένοις ὁ ἀγὼν καταστήσεται. φαμὲν γὰρ Μαραθῶνί τε μόνοι προκινδυνεῦσαι τῷ βαρβάρῳ, καὶ ὅτε τὸ ὕστερον ἦλθεν, οὐχ ἱκανοὶ ὄντες κατὰ γῆν ἀμύνεσθαι, ἐσβάντες ἐς τὰς ναῦς πανδημεὶ ἐν Σαλαμῖνι ξυνναυμαχῆσαι· ὅπερ ἔσχε μὴ κατὰ πόλεις αὐτὸν ἐπιπλέοντα τὴν Πελοπόννησον πορθεῖν, ἀδυνάτων ἂν ὄντων πρὸς ναῦς

exprobrantibus interpretati sumus, quia passivum *προβάλλεσθαι* valere proferri, memorari, ex VI, 92. constat, sed notio exprobrari V, 16. dubia est. Fuerunt qui *προβαλλομένοις* passive acceptum ad Lacedaemonios referrent, ut *προβάλλομαί τι* quemadmodum *πιστεύομαί τι* diceretur; sed nec exemplum verbi ita positi prolatum est, nec verum Lacedaemoniis semper haec narrari aut exprobrari. — *ἐπ' ὠφελίᾳ ἐκινδυνεύετο*, propter (communem) utilitatem pericula adibantur (a nobis). *Κινδυνεύεσθαι* passive et impersonaliter dictum est, ut c. 78. II, 43. al. — *ἧς ... μετέσχετε*, cuius (utilitatis) re ipsa vos quidem participes aliquatenus facti estis. De accus. *μέρος* vid. Matth. Gr. §. 325. adn. 1. Rost. §. 108. adn. 6. de aoristo adn. I, 3, 2. cf. Plut. Cic. c. 42. Respondent inter se *ἔργου* et *λόγου*, *μέρος* et *πᾶν*. *Τὸ ἔργον τῆς ὠφελίας* est propr. id, quod verum et certum est (das Wesentliche) ex commodis. Lacedaemonii autem partem fructuum belli dicuntur percepisse, quia solius libertatis, non, ut Athenienses, imperii et tributorum participes facti sunt.

§. 3. *Οὐ παραιτήσεως ... ἕνεκα*] „*οὐχὶ ἕνεκα τοῦ αἰτεῖν συγγνώμην.*“ Schol. De *ῥηθήσομαι* vanam Buttmanni suspicionem refutavimus in ed. mai.

§. 4. *Μαραθῶνι.* De praepositione contra atque II, 34, non addita vid. Rost. Gr. §. 106. 1. e). Bernh. Synt. p. 81. Dind. et Bait. ad Isocr. Pan. c. 25. Cf. 143, 1. et V, 18. extr. — *μόνοι.* Est veri superlatio oratoria, quum negligantur ob exiguum numerum Plataeenses. — *προκινδυνεῦσαι τῷ βαρβάρῳ.* In *πρό* aut notio ante ceteros (ut *πρόμαχοι τῆς Ἑλλάδος* dicantur fuisse) aut pro ceteris inest. De dativo vid. Matth. Gr. §. 404. Exempla verbi *προκινδ.* ita positi vide apud Bloomf. et in ed. mai., ubi citatis add. Schaef. ad Plut. V. p. 9. — *πανδημεί.* Praeter paucos illos, qui in arce remanserunt. — *ξυνναυμαχῆσαι*, i. e. *σὺν τοῖς ἄλλοις Ἕλλησι ναυμαχῆσαι.* — *ἔσχε*] „*ἐπέσχε, διεκώλυσε.*“ Schol. De proximo *μή* cf. Matth. Gr. §. 534. adn. 4. 3, de Herod. VII, 139. — *ἀδυνάτων ἂν ὄντων.* Suppl. *Πελοποννησίων* ex praeced. *Πε-*

πολλὰς ἀλλήλοις ἐπιβοηθεῖν. τεκμήριον δὲ μέ- 5
γιστον αὐτὸς ἐποίησε· νικηθεὶς γὰρ ταῖς ναυσίν,
ὡς οὐκέτι αὐτῷ ὁμοίας οὔσης τῆς δυνάμεως,
κατὰ τάχος τῷ πλέονι τοῦ στρατοῦ ἀνεχώρησεν.

ὑπὸ σφῶν γὰρ τότε σωθῆναι τὴν Ἑλλάδα.

74. *Τοιούτου μέντοι ξυμβάντος τούτου, καὶ* 1
σαφῶς δηλωθέντος, ὅτι ἐν ταῖς ναυσὶ τῶν Ἑλλή-
νων τὰ πράγματα ἐγένετο, τρία τὰ ὠφελιμώτατα
ἐς αὐτὸ παρεσχόμεθα, ἀριθμόν τε νεῶν πλεῖστον,
καὶ ἄνδρα στρατηγὸν ξυνετώτατον, καὶ προθυ-
μίαν ἀοκνοτάτην· ναῦς μέν γε ἐς τὰς τριακοσίας
ὀλίγῳ ἐλάσσους [τῶν] δύο μοιρῶν, Θεμιστοκλέα δὲ

Cap. LXXIV. §. 1. *Τριακοσίας* Vind. Ar. Chr. b. Vulgo et Bekk. *τετρακοσίας*. Vid. adn. Eadem numeralia IV, 55. et alibi a librariis confusa sunt.

Τῶν δύο μοιρῶν. *Τῶν* abest a libris mss. optimis et deletum est a Bekk. At vid. I, 10. 104. II, 10. 47. Aristot. Polit. II, 6, 11. Aristid. p. 528. Cf. Krueger. ad Andoc. Beckeri p. 268.

λοπόννησον vel *ὑμῶν*. *Ἄν* indicat participium solvendum esse *ἐπεὶ ἀδύνατοι ἂν ἦτε* (*ἦσαν*), intell. *εἰ ἐπέπλει*. Cf. Rost. Gr. §. 120. e. bb. *β΄*.

§. 5. *Ὁμοίας*. Significat similem atque antea, superiori parem. — *τῷ πλέονι τοῦ στρατοῦ*. De dativo vid. Matth. Gr. §. 405. adn. 2. Rost. §. 106. adn. 1. *Πλέονι* potest esse masculinum. Cf. adn. 2, 3. 5, 1. Similiter II, 79, 7.

Cap. LXXIV. Cum hoc cap. cf. Aristid. Panath. I. p. 131. sqq. — §. 1. *Δηλωθέντος*. Cf. Rost. Gr. §. 131. adn. 5. Buttm. §. 145. adn. 7. 1). — *ἐν ταῖς ... ἐγένετο*, in navibus fortunas Graecorum sitas fuisse, versas esse. Multis modis hanc formulam variavit Aristides. Vid. ed. mai. — *τριακοσίας*. Quanquam universa classis Graeca proprie 378 navium earumque praeter quinque *πεντηκοντόρους* triremium fuit secundum Herodot. VIII, 48, qui numerus ut rotundetur, rectius quadringentae quam trecentae commemorandae videantur, tamen, quum Graecis honori esset quam minimis navibus vicisse, et Aeschylus in Pers. v. 338. (praeterquam quod hic decem selectas addit,) Demosth. de Cor. §. 238. et de Symmor. §. 29. atque Nepos Them. c. 3. trecentas numerant, et idem hic fecisse Thucydidem, apud quem vulgo *τετρακοσίας* legitur, inde certum est, quod ad hanc classem non multo pauciores quam duas partes (zwei Drittel) Athenienses dicuntur contulisse, a quibus summum ducentas datas esse novimus ex Herodot. VIII, 61. (qui VIII, 44. tantum centum octoginta memoravit,) Demosth. de Cor. l. d. Diod. XV, 78. Nep. Them. c. 3. Disputarunt de magnitudine classis Graecae praeter alios Boeckh. Oecon. civ. Athen. I. p. 275. Mueller. Aegin. p. 120—122. Bloomf. ad h. l. Leak. de Pag. Attic., qui *τριακοσίας* probat p. 138. item Thirwall. Hist. Gr. II. p. 506. Didotius ut vulgatam defendat, formulae *τῶν δύο μοιρῶν* aliam vim dat, quam de duabus partibus rei in tres partes descriptae dici cognoscitur ex locis ad sd. allatis praeter I, 10. Similiter Latini totum, cuius partes ponuntur, non nominant, quum numerus numerans uno minor est indice. Cf. Brem. ad Nep. Timoth. c. 4. Grysar. Rat. Lat. scrib. p. 128. Ita his verbis intellectis et reposito *τριακοσίας* optime Thucydides conspirat cum Isocr. Paneg. c. 31, ubi Athenienses dicuntur *κεκτημένοι τριήρεις διπλασίας μὲν ἢ σύμπαντες οἱ ἄλλοι*. Cf. Aristid. p. 528. — *ἐν τῷ στενῷ*. In freto Salaminio. Cf. Herodot. VIII, 60. sqq. et Diod. XI, 15. ac de syntaxi Matth. Gr. §. 542. adn. 1. b. *β΄*. — *αὐτοί* est *ὑμεῖς αὐτοί*, ut saepe. *Δή* cum pronomine demonstrativo, ut non raro, iungendum est. — *ἐτιμήσατε*. Vid. Herodot. VIII, 124. Plut. Themist. c. 17.

§. 2. *Τὰ οἰκεῖα διαφθείραντες*] „*οὐκ ἐπὶ τῆς πόλεως εἴληπται, ἀλλ' ἐπὶ τῶν σκευῶν τῶν ἐν ταῖς οἰκίαις καὶ τῆς ἄλλης περιουσίας, ἣν οὐκ ἦν δυνατὸν ὑπεκθέσθαι, οὔτε* (? *οὐδὲ*) *ἐν ταῖς ναυσὶ φέρειν*." Schol.

§. 3. *Τούτου*, i. e. *τοῦ ὠφελεῖσθαι, τῆς ὠφελίας*. — *ἐπὶ τῷ ... νέμεσθαι*, ut eas in posterum incoleretis. — *ὑπὲρ ὑμῶν ... τὸ πλέον*. Cf. Matth. Gr. §. 455. adn. 3. b. — *τῆς οὐκ οὔσης ἔτι*, quae iam nulla erat, quae iam esse desierat.

ἄρχοντα, ὃς αἰτιώτατος ἐν τῷ στενῷ ναυμαχῆσαι
ἐγένετο, ὅπερ σαφέστατα ἔσωσε τὰ πράγματα,
καὶ αὐτοὶ διὰ τοῦτο δὴ μάλιστα ἐτιμήσατε ἄνδρα
2 *ξένον τῶν ὡς ὑμᾶς ἐλθόντων. προθυμίαν δὲ καὶ*
πολὺ τολμηροτάτην ἐδείξαμεν, οἵ γε, ἐπειδὴ ἡμῖν
κατὰ γῆν οὐδεὶς ἐβοήθει, τῶν ἄλλων ἤδη μέχρι
ἡμῶν δουλευόντων, ἠξιώσαμεν ἐκλιπόντες τὴν
πόλιν καὶ τὰ οἰκεῖα διαφθείραντες μηδ' ὧς τὸ
τῶν περιλοίπων ξυμμάχων κοινὸν προλιπεῖν, μηδὲ
σκεδασθέντες ἀχρεῖοι αὐτοῖς γενέσθαι, ἀλλ' ἐς-
βάντες ἐς τὰς ναῦς κινδυνεῦσαι, καὶ μὴ ὀργι-
3 *σθῆναι, ὅτι ἡμῖν οὐ προετιμωρήσατε. ὥστε φαμὲν*
οὐχ ἧσσον αὐτοὶ ὠφελῆσαι ὑμᾶς ἢ τυχεῖν τούτου.
ὑμεῖς μὲν γὰρ ἀπό τε οἰκουμένων τῶν πόλεων
καὶ ἐπὶ τῷ τὸ λοιπὸν νέμεσθαι, ἐπειδὴ ἐδείσατε
ὑπὲρ ὑμῶν καὶ οὐχ ἡμῶν τὸ πλέον, ἐβοηθήσατε.
(ὅτε γοῦν ἦμεν ἔτι σῶοι, οὐ παρεγένεσθε·) ἡμεῖς
δὲ ἀπό τε τῆς οὐκ οὔσης ἔτι ὁρμώμενοι, καὶ ὑπὲρ

Αὐτοὶ διὰ τοῦτο δὴ μάλιστα ἐτιμήσατε. Ita optimi libri. Vulgo *αὐτὸν διὰ τοῦτο ὑμεῖς ἐτιμήσατε μάλιστα δή*. Bekker. sine ulla librorum auctoritate *αὐτὸν διὰ τοῦτο ὑμεῖς δὴ μάλιστα ἐτιμήσατε*. *Αὐτόν* non male defendit Haack.

§. 2. *Ὥς*. Cf. sd. 44, 2.

τῆς ἐν βραχείᾳ ἐλπίδι οὔσης κινδυνεύοντες, ξυνεσώ-
σαμεν ὑμᾶς τε τὸ μέρος καὶ ἡμᾶς αὐτούς. εἰ δὲ 4
προσεχωρήσαμεν πρότερον τῷ Μήδῳ δείσαντες,
ὥςπερ καὶ ἄλλοι, περὶ τῇ χώρᾳ, ἢ μὴ ἐτολμή-
σαμεν ὕστερον ἐςβῆναι ἐς τὰς ναῦς ὡς διεφθαρ-
μένοι, οὐδὲν ἂν ἔτι ἔδει ὑμᾶς μὴ ἔχοντας ναῦς
ἱκανὰς ναυμαχεῖν, ἀλλὰ καθ' ἡσυχίαν ἂν αὐτῷ
προεχώρησε τὰ πράγματα, ᾗ ἐβούλετο.

ἔπειτα ἀποδεικνύασιν, ὅτι καὶ δικαίως ἔλαβον τὴν ἀρχήν, καὶ κατηναγκάσθησαν αὐτὴν ἐπὶ τοσοῦτον προαγαγεῖν.

75. Ἆρ' ἄξιοί ἐσμεν, ὦ Λακεδαιμόνιοι, καὶ 1
προθυμίας ἕνεκα τῆς τότε καὶ γνώμης ξυνέσεως
ἀρχῆς γε ἧς ἔχομεν τοῖς Ἕλλησι μὴ οὕτως ἄγαν
ἐπιφθόνως διακεῖσθαι; καὶ γὰρ αὐτὴν τήνδε ἐλά- 2
βομεν οὐ βιασάμενοι, ἀλλ' ὑμῶν μὲν οὐκ ἐθε-
λησάντων παραμεῖναι πρὸς τὰ ὑπόλοιπα τοῦ βαρ-
βάρου, ἡμῖν δὲ προςελθόντων τῶν ξυμμάχων, καὶ
αὐτῶν δεηθέντων ἡγεμόνας καταστῆναι· ἐξ αὐτοῦ 3
δὲ τοῦ ἔργου κατηναγκάσθημεν τὸ πρῶτον προ-
αγαγεῖν αὐτὴν ἐς τόδε, μάλιστα μὲν ὑπὸ δέους,

Cap. LXXV. §. 1. *Γνώμης ξυνέσεως.* Cl. et Ven. *γνώμης καὶ ξυνέσεως.* Sed vid. adn.

Ἀρχῆς γε Mosqu. Ar. Chr. Dan. b. Bekk. Vulgo *ἀρχῆς τε.* Sed imperium non erat causa, cur Athenienses invidia indigni essent, verum id, quod iis alii maxime invidebant.

Ita alibi de mortuis dicitur. Cf. II, 44, 3. — *ὁρμώμενοι*, proficiscentes, una cum vi subsidiis eius utentes. Cf. I, 144. II, 65. Schoem. ad Plut. Cleom. 26, 3. — *ὑπὲρ τῆς ἐν βραχείᾳ ἐλπίδι οὔσης*] „*ἐν βραχείᾳ ἐλπίδι αἱ τριήρεις ἢ τὰ σώματα τῶν ἀνθρώπων.*“ Schol.“ Videtur igitur *πόλιν* hic aut classem patriae quasi receptatricem aut civitatem, h. e. cives, dicere, nisi de futura restitutione urbis cogitari mavis. — *τὸ μέρος*, pro rata parte, pro parte virili. Cf. I, 127. II, 67. Vig. p. 109.

§. 4. *Οὐδὲν ἂν ... ἔδει.* De *ἄν* non omisso cf. Matth. Gr. §. 505. adn. Rost. §. 120. adn. 2.

Cap. LXXV. §. 1. *Ἆρ' ἄξιοί ἐσμεν;* dignine sumus? i. e. nonne digni sumus? Cf. Herm. ad Vig. p. 821. et Matth. Gr. §. 614. extr. — *γνώμης ξυνέσεως*, consilii intelligentiae, i. e. consilii prudentissimi per Themistoclem dati, cf. 74, 1. — *ἀρχῆς γε ... ἐπιφθόνως διακεῖσθαι*, i. e. *φθονεῖσθαι.* Cf. Matth. Gr. §. 368. et de *διακεῖσθαι* adn. VIII, 68. Cum toto loco compara VI, 82. 83.

§. 2. *Παραμεῖναι ... τοῦ βαρβάρου.* Cf. III, 10. et de universa re I, 95.

§. 3. *Προαγαγεῖν.* *Αἴρειν* VI, 18. ut *προάγειν* ibid. et I, 144. — *ὑπὸ δέους*] „*τοῦ βαρβάρου ἢ τῶν κακῶς παθόντων ἐν τῇ ἀρχῇ ὑπηκόων.*“ Schol. Alteram explicationem an-

4 ἔπειτα δὲ καὶ τιμῆς, ὕστερον καὶ ὠφελίας. καὶ
οὐκ ἀσφαλὲς ἔτι ἐδόκει εἶναι τοῖς πολλοῖς ἀπη-
χθημένους, καί τινων καὶ ἤδη ἀποστάντων κατε-
στραμμένων, ὑμῶν τε ἡμῖν οὐκέτι ὁμοίως φίλων,
ἀλλ' ὑπόπτων καὶ διαφόρων ὄντων, ἀνέντας
κινδυνεύειν· καὶ γὰρ ἂν αἱ ἀποστάσεις πρὸς
5 ὑμᾶς ἐγίγνοντο. πᾶσι δὲ ἀνεπίφθονον τὰ ξυμ-
φέροντα τῶν μεγίστων πέρι κινδύνων εὖ τίθεσθαι.

καὶ μὴν ὅτι οὔτε παρὰ τοὺς τρόπους τοὺς Λακεδαιμονίων οὔτε παρὰ τὴν ἀνθρωπείαν φύσιν ἔδρασαν.

1 76. Ὑμεῖς γοῦν, ὦ Λακεδαιμόνιοι, τὰς ἐν τῇ
Πελοποννήσῳ πόλεις ἐπὶ τὸ ὑμῖν ὠφέλιμον κατα-
στησάμενοι ἐξηγεῖσθε· καὶ εἰ τότε ὑπομείναντες
διὰ παντὸς ἀπήχθησθε ἐν τῇ ἡγεμονίᾳ, ὥςπερ
ἡμεῖς, εὖ ἴσμεν μὴ ἂν ἧσσον ὑμᾶς λυπηροὺς γε-
νομένους τοῖς ξυμμάχοις, καὶ ἀναγκασθέντας ἂν
2 ἢ ἄρχειν ἐγκρατῶς, ἢ αὐτοὺς κινδυνεύειν. οὕτως
οὐδ' ἡμεῖς θαυμαστὸν οὐδὲν πεποιήκαμεν, οὐδ'
ἄπο τοῦ ἀνθρωπείου τρόπου, εἰ ἀρχήν τε διδο-
μένην ἐδεξάμεθα, καὶ ταύτην μὴ ἀνεῖμεν ὑπὸ
τῶν μεγίστων νικηθέντες, τιμῆς καὶ δέους καὶ
ὠφελίας, οὐδ' αὖ πρῶτοι τοῦ τοιούτου ὑπάρξαν-
τες, ἀλλ' ἀεὶ καθεστῶτος τὸν ἥσσω ὑπὸ τοῦ
δυνατωτέρου κατείργεσθαι, ἄξιοί τε ἅμα νομί-

§. 2. *Ἔπειτα δέ. Δέ*, quod a nonnullis deterioribus libris abest, post *ὕστερον* transponendum esse coniicit Krueg.

teponendam esse ex §. 4. intelligitur.

§. 4. *Καὶ οὐκ ἀσφαλές —.* Cf. II, 63. — *ἀποστάντων κατεστραμμένων.* Attende participium participio subiectum. Cf. adn. I, 50. IV, 48. VI, 17. Matth. Gr. §. 557. 3. Rost. §. 130. 4. De defectionibus vid. I, 98. 99. sqq. *καὶ γὰρ ἄν.* Suppl. *εἰ ἀνεῖμεν.*

§. 5. *Ἀνεπίφθονον*] „*ἄμεμπτον, ἄψογον.*“ Schol. Homericum *οὐ νεμεσητόν.* — *τῶν μεγίστων πέρι κινδύνων*, ratione habita maximorum periculorum (in quae alioqui incidere possint).

Cap. LXXVI. §. 1. *Ὑπομείναντες διὰ παντός*, si semper perseverassetis (in bello et in principatu). Contraria haec sunt superioribus 75, 2, *ὑμῶν οὐκ ἐθελησάντων παραμεῖναι πρὸς τὰ ὑπόλοιπα τοῦ ἔργου.* — *μὴ ἄν.* Usitatius esset *οὐκ ἄν*, ut VI, 64. *εἰδότες οὐκ ἂν ὁμοίως δυνηθέντες.* Cf. Rost. Gr. §. 135. 5. c., sed etiam II, 17, 2.

§. 2. *Οὕτως*, ut Lat. ita, est quapropter. Cf. VI, 92. — *τοῦ τοιούτου*] „*τοῦ ἄρχειν.*“ Schol. De re cf. V, 105. *ὑμῖν δοκοῦντες.* Vid. 95,

ζοντες εἶναι καὶ ὑμῖν δοκοῦντες, μέχρι οὗ τὰ
ξυμφέροντα λογιζόμενοι τῷ δικαίῳ λόγῳ νῦν
χρῆσθε, ὃν οὐδείς πω παρατυχὸν ἰσχύϊ τι κτή-
σασθαι προθεὶς τοῦ μὴ πλέον ἔχειν ἀπετράπετο.
ἐπαινεῖσθαί τε ἄξιοι οἵτινες χρησάμενοι τῇ ἀν- 3
θρωπείᾳ φύσει, ὥςτε ἑτέρων ἄρχειν, δικαιότεροι
ἢ κατὰ τὴν ὑπάρχουσαν δύναμιν γεγένηνται.
ἄλλους γ᾽ ἂν οὖν οἰόμεθα τὰ ἡμέτερα λαβόντας 4
δεῖξαι ἂν μάλιστα, εἴ τι μετριάζομεν· ἡμῖν δὲ
καὶ ἐκ τοῦ ἐπιεικοῦς ἀδοξία τὸ πλέον ἢ ἔπαινος
οὐκ εἰκότως περιέστη.

ἔτι δὲ ὅτι καὶ ἐπιεικέστεροί εἰσιν ἄλλων, καὶ δι᾽ αὐτὴν

77. Καὶ ἐλασσούμενοι γὰρ ἐν ταῖς ξυμβο- 1
λαίαις πρὸς τοὺς ξυμμάχους δίκαις, καὶ παρ᾽
ἡμῖν αὐτοῖς ἐν τοῖς ὁμοίοις νόμοις ποιήσαντες
τὰς κρίσεις φιλοδικεῖν δοκοῦμεν. καὶ οὐδεὶς 2

7. — τῷ δικαίῳ λόγῳ ... χρῆσθε, die Sprache der Billigkeit führt, vel das Recht zum Vorwand gebraucht. — παρατυχόν. Cf. Matth. Gr. §. 564. Rost. §. 131. 5. — προθείς] „προτιμήσας, προκρίνας.“ Schol. — μή. Cf. Rost. §. 135. adn. 10. Bernh. Synt. p. 356.

§. 3. Χρησάμενοι hic est fere idem atque secuti, obsecuti.

§. 4. Ἄν ... ἄν. Cf. Rost. Gr. §. 120. adn. 4. cap. 77, 6. 136, 3. adn. — ἐκ τοῦ ἐπιεικοῦς] „ἐκ τῆς μετριότητος.“ Schol. — περιέστη, obvenit, evenit. Cf. VI, 24. VII, 70. De dativo addito, quem tamen hic ob vim verbi non mirabere, cf. Matth. Gr. §. 402. d.

Cap. LXXVII. §. 1. Καὶ ἐλασσούμενοι γάρ. Καί aut alteri ante παρ᾽ posito respondet, aut καὶ ... γάρ valent nam etiam. Similiter dubitatur, utrum ἐλασσοῦσθαι sit de iure suo decedere, ut ἡσσᾶσθαι IV, 64, an ἔλασσον ἔχειν, πλεονεκτεῖσθαι, ζημιοῦσθαι. Illud loco Demosth. c. Dionysod. p. 1287. Reisk. tuetur Arn. — ἐν ταῖς ξυμβολαίαις πρὸς τοὺς ξυμμάχους δίκαις. „Συμβόλαια in universum sunt pacta, conventa, et συμβόλαιος δίκη controversia, iudicium de pacto.“ DUK. „Ξυμβόλαιαι δίκαι significant lites, quae pactionibus publicis nituntur.“ PLATNER. Lit. Attic. (der Prozess bei den Attik.) p. 111. Praeter quem vid. praecipue Meier. et Schoemann. Lit. Athen. p. 773. sqq. Hudtwalk. de Arbitr. p. 123. sqq. Wachsm. Antiqu. Gr. II. 2. p. 195. et alibi. Voemel. in Orat. de Halonn. p. 115. sqq. et Bloomf. ad h. l. — παρ᾽ ἡμῖν αὐτοῖς. Socios Athenis ius petere coactos idque iis molestissimum fuisse notissimum est. Cf. Boeckh. Oecon. civ. Athen. I. p. 434. sqq. et Wachsm. Antiqu. Gr. I. 2. p. 80. sq. — ἐν τοῖς ὁμοίοις νόμοις. De ἐν vid. Matth. Gr. §. 577. p. 1343. Ὅμοιοι νόμοι sunt leges pares (civibus et sociis). — φιλοδικεῖν δοκοῦμεν. Τὸ φιλόδικον Atheniensium multis locis perstringi ab Aristoph. adnotant interpretes. Cf. Wachsm. Antiqu. Gr. I. 2. p. 156. sq.

σκοπεῖ αὐτῶν, τοῖς καὶ ἄλλοθί που ἀρχὴν ἔχουσι
καὶ ἧσσον ἡμῶν πρὸς τοὺς ὑπηκόους μετρίοις
οὖσι διότι τοῦτο οὐκ ὀνειδίζεται· βιάζεσθαι γὰρ
3 οἷς ἂν ἐξῇ, δικάζεσθαι οὐδὲν προςδέονται. οἱ δὲ
εἰθισμένοι πρὸς ἡμᾶς ἀπὸ τοῦ ἴσου ὁμιλεῖν, ἤν τι
παρὰ τὸ μὴ οἴεσθαι χρῆναι ἢ γνώμῃ, ἢ δυνάμει
τῇ διὰ τὴν ἀρχὴν καὶ ὁπωςοῦν ἐλασσωθῶσιν, οὐ
τοῦ πλέονος μὴ στερισκόμενοι χάριν ἔχουσιν,
ἀλλὰ τοῦ ἐνδεοῦς χαλεπώτερον φέρουσιν, ἢ εἰ
ἀπὸ πρώτης ἀποθέμενοι τὸν νόμον φανερῶς
ἐπλεονεκτοῦμεν. ἐκείνως δ᾽ οὐδ᾽ ἂν αὐτοὶ ἀντέλε-
γον, ὡς οὐ χρεὼν τὸν ἥσσω τῷ κρατοῦντι ὑπο-
4 χωρεῖν. ἀδικούμενοί τε, ὡς ἔοικεν, οἱ ἄνθρωποι

τὴν μετριότητα κακῶς ἀκούουσιν.

§. 2. Διότι, cur (ut c. 23.), proprie ante τοῖς collocandum erat; sed vid. adn. 68, 1. — βιάζεσθαι γάρ. Ante haec cogita enunciatum οὐ γὰρ αὐτοῖς ὀνειδίζεται τοῦτο vel simile, et γάρ reddas scilicet. — δικάζεσθαι οὐδὲν προςδέονται, iis iudiciis non est opus. Δικάζεσθαι ut I, 29. III, 44. al.

§. 3. Οἱ δέ, illi vero (socii nostri); cf. adn. 37, 2. — ἀπὸ τοῦ ἴσου, ex aequo, aequali iure, auf gleichem Fusse. Legitur haec formula saepe apud Thuc., ut I, 99. 136. 140. 143. — παρὰ τὸ μὴ οἴεσθαι χρῆναι. De μή, pro quo πῄ coniecit Krueg., vid. Matth. Gr. §. 534. adn. 4. 7. Rost. §. 135. adn. 11. Hart. de Part. II. p. 170. — γνώμῃ, nostro iudicio. — καὶ ὁπωςοῦν. Aut καί fere idem est atque ἤ (cf. adn. 22, 4.), aut ὁπωςοῦν fere idem atque ὁτιοῦν, quod praestat. — οὐ τοῦ πλέονος μὴ στερισκόμενοι χάριν ἔχουσι, non, quod pluribus non priventur, gratiam habent. Cf. Matth. Gr. §. 555. h. Dicit autem τοῦ πλέονος, quia intelligit plura illa commoda, quae socii habebant. — τοῦ ἐνδεοῦς. Genitivus utrum pendeat ex verbo στερισκόμενοι ex superioribus repetendo, an ex ipsis χαλεπώτερον φέρουσι, cf. II, 62. dubium est. Si alterum verum est, τὸ ἐνδεές est τὸ ἔλασσον, ἡ ἔνδεια, cf. I, 70. 102.; sin prius, exiguum illud (quo orbati sunt). — ἀπὸ πρώτης. Femininum ita positum est, ut in vv. τὴν πρώτην, τὴν ταχίστην, κατὰ μόνας, al. Cf. Thiersch. Gr. §. 313. 7. b. Bernh. Synt. p. 185. et VII, 43. — ἀποθέμενοι τὸν νόμον, propr. deposita lege, i. e. abiecta legis cura, mit Hintansetzung des gesetzlichen Verfahrens. Τοὔννομον coniicit Krueger. — ἐκείνως δέ] „ὁ δέ ἀντὶ τοῦ γάρ.“ Schol. Cf. Herm. ad Vig. §. 343. b. et infra c. 86. — ὡς οὐ. De οὐ cf. Rost. Gr. §. 135. 6. b. β΄., ubi adde verba obloquendi. Cf. I, 86. VIII, 24.

§. 4. Ἀδικούμενοι ... ἢ βιαζόμενοι. Etsi ἀδικεῖν omnino est iniuria aliquem afficere,

*μᾶλλον ὀργίζονται ἢ βιαζόμενοι. τὸ μὲν γὰρ
ἀπὸ τοῦ ἴσου δοκεῖ πλεονεκτεῖσθαι, τὸ δ᾽ ἀπὸ
τοῦ κρείσσονος καταναγκάζεσθαι. ὑπὸ γοῦν τοῦ* 5
*Μήδου δεινότερα τούτων πάσχοντες ἠνείχοντο, ἡ
δὲ ἡμετέρα ἀρχὴ χαλεπὴ δοκεῖ εἶναι· εἰκότως·
τὸ παρὸν γὰρ ἀεὶ βαρὺ τοῖς ὑπηκόοις. ὑμεῖς γ᾽* 6
*ἂν οὖν, εἰ καθελόντες ἡμᾶς ἄρξαιτε, τάχα ἂν
τὴν εὔνοιαν, ἣν διὰ τὸ ἡμέτερον δέος εἰλήφατε,
μεταβάλοιτε, εἴπερ, οἷα καὶ τότε πρὸς τὸν Μῆδον
δι᾽ ὀλίγου ἡγησάμενοι ὑπεδείξατε, ὅμοια καὶ νῦν
γνώσεσθε. ἄμικτα γὰρ τά τε καθ᾽ ὑμᾶς αὐτοὺς
νόμιμα τοῖς ἄλλοις ἔχετε, καὶ προσέτι εἷς ἕκαστος
ἐξιὼν οὔτε τούτοις χρῆται, οὔθ᾽ οἷς ἡ ἄλλη Ἑλλὰς
νομίζει.*

ἐν τοῖς ἐπιλόγοις παρορμῶσιν ἐπὶ τὸ βραδέως βουλεύεσθαι.

78. *Βουλεύεσθε οὖν βραδέως ὡς οὐ περὶ* 1
*βραχέων, καὶ μὴ ἀλλοτρίαις γνώμαις καὶ ἐγκλή-
μασι πεισθέντες οἰκεῖον πόνον πρόςθησθε. τοῦ
δὲ πολέμου τὸν παράλογον, ὅσος ἐστὶ, πρὶν ἐν*

Cap. LXXVIII. §. 1. *Πρόςθησθε.* Bekk. *προςθῆσθε.* Cf. sd. c. 33.

hic, ubi *βιάζεσθαι* ei opponitur valet clam et tecte id facere, et *ἀδικούμενοι* respondet superioribus *ἤν τι ... ἐλασσωθῶσι.* In proximis verba *ἀπὸ τοῦ ἴσου* et *ἀπὸ τοῦ κρείσσονος* dubitatur cohaereantne cum *τό*, an cum *πλεονεκτεῖσθαι* et *καταναγκάζεσθαι*, et sintne neutra an masculina. Cf. VIII, 89. *ἀπὸ τῶν ὁμοίων ἐλασσοῦσθαι.*

§. 5. *Ὑπὸ γοῦν* —. Orator exemplo declarat iniuriam hominibus invisiorem esse quam vim. — *εἰκότως.* Similiter collocata verba *οὐκ ἀπεικότως* II, 8. Latini copulam addere solent.

§. 6. *Ἂν ... ἄν.* Cf. adn. 76, 4. *Καθελόντες ἡμᾶς* valent nobis deturbatis. — *διὰ τὸ ἡμέτερον δέος.* Cf. adn. 33, 3. — *οἷα ... ὑπεδείξατε.* De his cf. c. 95. — *δι᾽ ὀλίγου*, per breve tempus, quae est vis rarior horum verborum. Cf. Steph. Thes. II. p. 1104. Add. III, 43. II, 85. — *ἄμικτα*] „*ἀσύμφωνα πρὸς τὰ ἔθιμα τῶν ἄλλων Ἑλλήνων.*“ *ΔΟΥΚΑΣ.* — *ἐξιών*, peregre proficiscens. — *οὔτε τούτοις χρῆται.* „Laconicae enim iuventuti maior erat licentia [extra Laconicae fines et] belli quam pacis tempore.“ GOTTL. — *οἷς.* Dativus ex *νομίζει* pendet, ut II, 38. III, 82. Cf. Rost. Gr. §. 106. 1. a. Nam nonnulli quidem *χρῆσθαι* ex superioribus hic repeti volunt; sed praeterquam quod id in ceteris exemplis non antecedit, hic eo suppleto aut *φιλεῖ* vel *εἴωθε* pro *νομίζει* aut *νομίζεται ἐν τῇ ἄλλῃ Ἑλλάδι* (cf. II, 15. extr.) exspectatur.

Cap. LXXVIII. §. 1. *Ὡς οὐ περὶ βραχέων. Βουλευόμενοι* intelligendum docet Sinten. ad Plut. Them. p. 2. — *πρόςθησθε.* Similiter *κινδύνους προςτίθεσθαι* I, 144. — *τοῦ δὲ πολέμου τὸν παράλογον.* Substantivum Thucydidi, ut aliis nonnullis, est *ὁ παράλογος.* Vid. II, 85. VII, 28. Cf. Poll. et Thom. M. et ed. mai.

§. 2. *Περιίστασθαι*, converti. Cf. I, 120. et supra c. 32. — *ὁποτέρως ἔσται.* Suppl. *ὁ πόλεμος.* Similiter 82, 6. *καθότι χωρήσει.* — *ἐν ἀδήλῳ κινδυνεύεται*, propr. periculum aditur in obscuro s. obscure, h. e. ita, ut obscurus et incertus sit eius eventus, wagt man auf das Ungewisse.

§. 3. *Τῶν ἔργων πρότερον ἔχονται.* Non cogitant igitur, ut secundum II, 40. Athenienses, prius, quam incipias, consulto opus esse (Sal. Cat. 1.) — *τῶν λόγων ἅπτονται*, consultationibus utuntur.

§. 4. *Αὐθαίρετος*, libera, integra. — *σπονδάς.* De articulo omisso cf. adn. 67, 1. — *τὰ δὲ διάφορα δίκῃ λύεσθαι.* Pro his *λόγοις τὰ ἐγκλήματα διαλύεσθαι* I, 140, *δίκῃ διαλύεσθαι περὶ τῶν ἐγκλημάτων* I, 145, *τὰ ἀμφίλογα δίκῃ διαλύειν* IV, 118. — *κατὰ τὴν ξυνθήκην.* Etenim in foederibus tricennalibus (I, 115.) scriptum erat *δίκας τῶν διαφορῶν ἀλλήλοις διδόναι καὶ δέχεσθαι* I, 140. et *ὅπλα μὴ ἐπιφέρειν, ἢν δίκας θέλωσι διδόναι* VII, 18. — *ὑφηγῆσθε*, praeiveritis, exemplum dederitis.

Cap. LXXIX. §. 1. *Τὰ ἐγκλήματα τὰ ἐς* —. *Ἐς* dictum ut saepe apud *αἰτία, μῖσος, ὀργή*, al. — *μεταστησάμενοι πάν-*

2 *αὐτῷ γενέσθαι προδιάγνωτε. μηκυνόμενος γὰρ
ἐς τύχας φιλεῖ τὰ πολλὰ περιίστασθαι, ὧν ἴσον
τε ἀπέχομεν, καὶ ὁποτέρως ἔσται ἐν ἀδήλῳ κιν-*
3 *δυνεύεται. ἰόντες τε οἱ ἄνθρωποι ἐς τοὺς πολέ-
μους τῶν ἔργων πρότερον ἔχονται, ἃ χρῆν ὕστε-
ρον δρᾶν, κακοπαθοῦντες δὲ ἤδη τῶν λόγων*
4 *ἅπτονται. ἡμεῖς δὲ ἐν οὐδεμιᾷ πω τοιαύτῃ ἁμαρ-
τίᾳ ὄντες οὔτ᾽ αὐτοί, οὔθ᾽ ὑμᾶς ὁρῶντες, λέγομεν
ὑμῖν, ἕως ἔτι αὐθαίρετος ἀμφοτέροις ἡ εὐβουλία,
σπονδὰς μὴ λύειν, μηδὲ παραβαίνειν τοὺς ὅρκους,
τὰ δὲ διάφορα δίκῃ λύεσθαι κατὰ τὴν ξυνθήκην·
εἰ δὲ μή, θεοὺς τοὺς ὁρκίους μάρτυρας ποιού-
μενοι πειρασόμεθα ἀμύνεσθαι πολέμου ἄρχοντας
ταύτῃ, ᾗ ἂν ὑφηγῆσθε.“*

τῶν πλειόνων πολεμεῖν ὁρμωμένων ἀντιλέγει Ἀρχίδαμος.

1 79. *Τοιαῦτα δὲ οἱ Ἀθηναῖοι εἶπον. ἐπειδὴ δὲ
τῶν τε ξυμμάχων ἤκουσαν οἱ Λακεδαιμόνιοι τὰ
ἐγκλήματα τὰ ἐς τοὺς Ἀθηναίους καὶ τῶν Ἀθη-
ναίων ἃ ἔλεξαν, μεταστησάμενοι πάντας ἐβου-*

§. 2. *Ἐς τύχας φιλεῖ* Cass. Aug. Cl. Ven. Vulgo et Bekk. *φιλεῖ ἐς τύχας*, sed maxima vis inest in nom. *τύχη.*

§. 4. *Εἰ δὲ μή* libri mss. duodecim, in quibus omnes meliores. Vulgo et Bekk. *ἤ*, cuius explicatio illae particulae possunt esse.

λεύοντο κατὰ σφᾶς αὐτοὺς περὶ τῶν παρόντων.
καὶ τῶν μὲν πλειόνων ἐπὶ τὸ αὐτὸ αἱ γνῶμαι 2
ἔφερον, ἀδικεῖν τε τοὺς Ἀθηναίους ἤδη, καὶ πολε-
μητέα εἶναι ἐν τάχει· παρελθὼν δὲ Ἀρχίδαμος
ὁ βασιλεὺς αὐτῶν, ἀνὴρ καὶ ξυνετὸς δοκῶν εἶναι
καὶ σώφρων, ἔλεξε τοιάδε.

οὗτος δὴ πρῶτον μὲν ἀποφαίνει, ὅτι οἱ Λακεδαιμόνιοι ἀπαράσκευοί εἰσι πρὸς τὸν πόλεμον.

80. „Καὶ αὐτὸς πολλῶν ἤδη πολέμων ἔμπει- 1
ρός εἰμι, ὦ Λακεδαιμόνιοι, καὶ ὑμῶν τοὺς ἐν τῇ
αὐτῇ ἡλικίᾳ ὁρῶ, ὥςτε μήτε ἀπειρίᾳ ἐπιθυμῆσαί
τινα τοῦ ἔργου, ὅπερ ἂν οἱ πολλοὶ πάθοιεν, μήτε
ἀγαθὸν καὶ ἀσφαλὲς νομίσαντα. εὕροιτε δ' ἂν 2
τόνδε, περὶ οὗ νῦν βουλεύεσθε, οὐκ ἂν ἐλάχιστον
γενόμενον, εἰ σωφρόνως τις αὐτὸν ἐκλογίζοιτο.
πρὸς μὲν γὰρ [τοὺς] Πελοποννησίους καὶ τοὺς 3
ἀστυγείτονας παρόμοιος ἡμῶν ἡ ἀλκή, καὶ διὰ

Cap. LXXX. §. 3. *Τοὺς Πελοποννησίους.* *Τούς* om. Laur. 6. I. E. m. Ar. Chr. Dan.; in Gr. adscriptum est; cf. adn. Articulus ante *ἀστυγείτονας* abest ab It. Gr. et fortasse D. I.

τας, summotis omnibus, als sie alle hatten abtreten lassen. Cf. V, 111. *Πάντες* omnes peregrini sunt; nam *τοὺς πολλούς* Lacedaemoniorum remansisse apparet ex c. 87.

§. 2. *Ἐπὶ τὸ αὐτὸ ... ἔφερον*] „*ὡμονόουν.*“ Schol. Propr. eodem spectabant. Cf. Vig. p. 313. sq. Tum in *ἤδη* haeret Haasius Lucubr. Thuc. p. 54. sq. — *Ἀρχίδαμος.* Archidamus Leotychidae successor et eius e Zeuxidamo, filio ante patrem mortuo, nepos.

Cap. LXXX. §. 1. *Πολλῶν ... εἰμί.* Etenim Archidamus tunc senex erat. — *ὁρῶ*] „*λείπει τὸ ἐμπείρους.*“ Schol. Nam si vestrum eos, qui eiusdem aetatis sunt, cerno interpretere, non senes solos, sed cives inde a trigesimo aetatis anno concioni interfuisse respondeatur. Cf. Plut. Lyc. c. 25. — *μήτε ἀπειρίᾳ ... μήτε ... νομίσαντα.* Cf. Matth. Gr. §. 397. 3. et §. 565. 2. Similiter non raro apud Thuc. verba et substantiva inter se respondent. Cf. c. 82. bis, 107. 110. 120. al. *Οἱ πολλοί* sunt vulgus, plerique.

§. 2. *Εἰ ... τὶς ... ἐκλογίζοιτο.* I. e. *εἰ ἐκλογίζοισθε.* Cf. Matth. Gr. §. 487. 3.

§. 3. [*Τοὺς*] *Πελοποννησίους καὶ τοὺς ἀστυγείτονας.* *Καί*, si omnia hic germana sunt, et quidem significet necesse est. Cf. V, 112, 2. VI, 20, 3. 61, 1. VII, 68, 1. 69, 2. 71, 6, ex quibus tamen exemplis unum alterumve dubium est. A nonnullis membranis mediocribus aut malis articulus ante *Πελοποννησίους* abest, quo expuncto sententia haec oriatur, adversus homines, quales sunt Peloponnesii, h. e. *πεζομάχους.* Finitimi sunt Argivi et nonnulli Arcadum, quibuscum Lacedaemonios saepe et acriter contendisse

ταχέων οἷόν τε ἐφ' ἕκαστα ἐλθεῖν· πρὸς δὲ ἄν-
δρας, οἳ γῆν τε ἑκὰς ἔχουσι, καὶ προςέτι θα-
λάσσης ἐμπειρότατοί εἰσι, καὶ τοῖς ἄλλοις ἅπα-
σιν ἄριστα ἐξήρτυνται, πλούτῳ τε ἰδίῳ καὶ δη-
μοσίῳ καὶ ναυσὶ καὶ ἵπποις καὶ ὅπλοις καὶ ὄχλῳ,
ὅσος οὐκ ἐν ἄλλῳ ἑνί γε χωρίῳ Ἑλληνικῷ ἐστιν,
ἔτι δὲ καὶ ξυμμάχους πολλοὺς φόρου ὑποτελεῖς
ἔχουσι, πῶς χρὴ πρὸς τούτους ῥᾳδίως πόλεμον
ἄρασθαι, καὶ τίνι πιστεύσαντας ἀπαρασκεύους
4 ἐπειχθῆναι; πότερον ταῖς ναυσίν; ἀλλ' ἥσσους
ἐσμέν· εἰ δὲ μελετήσομεν καὶ ἀντιπαρασκευασό-
μεθα, χρόνος ἐνέσται. ἀλλὰ τοῖς χρήμασιν; ἀλλὰ
πολλῷ ἔτι πλέον τούτου ἐλλείπομεν, καὶ οὔτε ἐν
κοινῷ ἔχομεν, οὔτε ἑτοίμως ἐκ τῶν ἰδίων φέρομεν.

§. 4. *Πολλῷ ἔτι πλέον.* In libris deterioribus *πολλῷ πλέον ἔτι.* At similiter *πολὺ δ' ἔτι πλείω* c. 137, *πολλῷ ἔτι μᾶλλον* IV, 123. VIII, 85.; et apud Latinos multo etiam magis, multo

constat. — *ἐφ' ἕκαστα ἐλθεῖν*, ad singulas res (singula oppida) eorum venire, vel proficisci adversus eas (ea). — *ἐξήρτυνται*, instructi sunt, ut *παρασκευάζεσθαι*, quocum ei etiam parandi notio (c. 13. 82.) communis est, II, 11, 6. et al. — *πλούτῳ τε ἰδίῳ καὶ δημοσίῳ* —. Attende suave *πολυσύνδετον*. Cf. c. 86. et Lennep. ad Phalar. Epist. 32. p. 140. ed. Lips. II. De divitiis, classe, equitatu Atheniensium vid. II, 13. *Ἵπποι* et *ὅπλα* ipsi equites et gravis armaturae milites videntur esse; nam *ὄχλος*, qui sequitur, turbam hominum, ex qua leviter armati et remiges deligebantur, solet significare. — *ὅσος ... ἐστίν.* De numero incolarum Atticae cf. Boeckh. Oec. civ. Athen. I. p. 35. sqq. Clint. Fast. Graec. II. p. 397. sq. ed. Krueg. — *ξυμμάχους πολλοὺς φόρου ὑποτελεῖς.* Vide eos enumeratos in Boeckh. l. d. p. 440. sqq. Kortuem. Respubl. Gr. p. 47. sqq. Wachsm. Antiqu. Gr. I. 2. p. 77. — *πρὸς τούτους.* „His repetitio [oratoria verborum *πρὸς*] *ἄνδρας* post plura interposita fit.“ GOELL.

§. 4. *Μελετήσομεν.* Aut subaudiendum *τὰς ναῦς*, aut valet *μελέτας ποιησόμεθα.* Cf. II, 86. — *ἐνέσται.* Ut *ἐγγίγνεσθαι* IV, 111. et alibi. — *ἀλλὰ τοῖς χρήμασιν.* De hoc usu particulae *ἀλλά* vid. interpr. Vig. p. 470. et Matth. Gr. §. 613. Cf. VI, 38, 5. et Pflugk. ad Eur. Herc. f. v. 298. — *τούτου*, hac re. Cf. Matth. Gr. §. 439. p. 987. et de genit. §. 352. II, 61, 4. — *ἐν κοινῷ*, in aerario, ut *ἐν τῷ κοινῷ* VIII, 6. et alibi. Sic etiam Latinis publicum de aerario dicitur. Articulo tamen omisso, ut apud Dion. Hal. in verbis similibus (cf. ed. mai.), formula adverbio publice fit similior. — *φέρομεν* pro usitatiore *ἐςφέρομεν*, conferimus.

ἔπειτα λέγει χαλεπόν τε καὶ μακρὸν ἔσεσθαι τὸν πόλεμον.

81. Τάχ᾽ ἂν τις θαρσοίη, ὅτι τοῖς ὅπλοις 1
αὐτῶν καὶ τῷ πλήθει ὑπερφέρομεν, ὥστε τὴν γῆν
δῃοῦν ἐπιφοιτῶντες. τοῖς δὲ ἄλλη γῆ ἐστι πολλή, 2
ἧς ἄρχουσι, καὶ ἐκ θαλάσσης ὧν δέονται ἐπάξον-
ται. εἰ δ᾽ αὖ τοὺς ξυμμάχους ἀφιστάναι πειρα- 3
σόμεθα, δεήσει καὶ τούτοις ναυσὶ βοηθεῖν, τὸ
πλέον οὖσι νησιώταις. τίς οὖν ἔσται ἡμῶν ὁ 4
πόλεμος; εἰ μὴ γὰρ ἢ ναυσὶ κρατήσομεν, ἢ τὰς
προσόδους ἀφαιρήσομεν, ἀφ᾽ ὧν τὸ ναυτικὸν
τρέφουσι, βλαψόμεθα τὰ πλέω. κἂν τούτῳ οὐδὲ 5
καταλύεσθαι ἔτι καλόν, ἄλλως τε καὶ εἰ δόξομεν 6
ἄρξαι μᾶλλον τῆς διαφορᾶς. μὴ γὰρ δὴ ἐκείνῃ
γε τῇ ἐλπίδι ἐπαιρώμεθα, ὡς ταχὺ παυθήσεται
ὁ πόλεμος, ἢν τὴν γῆν αὐτῶν τάμωμεν. δέδοικα
δὲ μᾶλλον, μὴ καὶ τοῖς παισὶν αὐτὸν ὑπολίπωμεν· οὕτως εἰκὸς Ἀθηναίους φρονήματι μήτε τῇ γῇ δουλεῦσαι, μήτε, ὥςπερ ἀπείρους, καταπλαγῆναι τῷ πολέμῳ.

etiam maior. Nec dissimilia verba πολλῷ τότε μᾶλλον I, 130. Contra πολλῷ τε μᾶλλον ἔτι VIII, 90, 1. ubi tamen ἔτι μᾶλλον Reg. Ar. Chr.

Cap. LXXXI. §. 1. Τάχ᾽ ἄν. Attende asyndeton, quod alacritate orationis videtur excusari. — τοῖς ὅπλοις ... ὑπερφέρομεν. In his ne πλήθει verbis 80, 3. ὄχλῳ, ὅσος ... ἐστίν repugnare videatur, cogitandum πλῆθος non, ut ὄχλον, de infima plebe et inquilinis intelligendum esse, sed sociorum multitudine effici. Cf. 83, 1. 121, 2. 143. II, 11. Etiam gravis armaturae milites (ὅπλα) non solis Lacedaemoniis (cf. V, 68. cum II, 13.), sed Peloponnesiis foederatis plures quam Atheniensibus tribuuntur.

§. 2. Ἐπάξονται. Usitatius quidem hac vi ἐςάγεσθαι, sed vulgatum satis defenditur verbis σῖτος ἐπακτός VI, 20.

§. 3. Εἰ δ᾽ αὖ, quod si porro. Cf. IV, 29. al.

§. 4. Τὰς προςόδους ἀφαιρήσομεν] διὰ τὸ (τοῦ) ἀποστῆσαι τοὺς συμμάχους. Cf. 122, 1. — βλαψόμεθα significatione passiva accipiendum. Cf. Rost. Gr. §. 114. adn. 1.

§. 5. Ἄρξαι μᾶλλον, incepisse magis, quam ad id inducti vel coacti esse.

§. 6. Ἐκείνῃ ... ἐλπίδι. Cf. V, 14, 3. — παυθήσεται sine σ ut II, 77. V, 91. 100. VI, 59. Cf. Buttm. Gr. max. Ind. verb. — τάμωμεν. Haec aoristi flexio quum alibi nusquam apud Thuc. legatur, sed τεμεῖν, suspecta iure visa est Mehlhornio. — οὕτως ... δουλεῦσαι, adeo verisimile est Athenienses pro animi magnitudine neque agro servituros (Sklaven von ihrem Lande werden). De aoristi infinitivo vid. Matth. Gr. §. 501. p. 1131. I, 121. II, 3. 11. III, 3. 40. al.

ἄμεινον οὖν δεῖν τὰ σφέτερα ἐξαρτύεσθαι, καὶ ἐν τούτῳ ἴσως ἂν διαλλαγῆναι.

1 82. Οὐ μὴν οὐδὲ ἀναισθήτως αὐτοὺς κελεύω
τούς τε ξυμμάχους ἡμῶν ἐᾶν βλάπτειν, καὶ ἐπιβουλεύοντας μὴ καταφωρᾶν, ἀλλὰ ὅπλα μὲν μήπω κινεῖν, πέμπειν δὲ καὶ αἰτιᾶσθαι μήτε πόλεμον ἄγαν δηλοῦντας, μήθ᾽ ὡς ἐπιτρέψομεν, κἂν τούτῳ καὶ τὰ ἡμέτερα αὐτῶν ἐξαρτύεσθαι ξυμμάχων τε προςαγωγῇ καὶ Ἑλλήνων καὶ βαρβάρων, εἴποθέν τινα ἢ ναυτικοῦ ἢ χρημάτων δύναμιν προςληψόμεθα, (ἀνεπίφθονον δὲ ὅσοι ὥςπερ καὶ ἡμεῖς ὑπ᾽ Ἀθηναίων ἐπιβουλευόμεθα μὴ Ἕλληνας μόνον, ἀλλὰ καὶ βαρβάρους προςλαβόντας διασωθῆναι.) καὶ
2 τὰ αὐτῶν ἅμα ἐκποριζώμεθα. καὶ ἢν μὲν ἐςακούωσί τι πρεσβευομένων ἡμῶν, ταῦτα ἄριστα· ἢν δὲ μή, διελθόντων ἐτῶν [καὶ] δύο καὶ τριῶν

Cap. LXXXII. §. 1. Τὰ αὐτῶν. Cass. Pal. Gr. m. τὰ αὐτῶν, fortasse recte. Cf. adn. c. 17.

§. 2. Ἐςακούωσι Cass. Aug. Cl. Ven. T. Reg. Cf. 126, 1. Pal. It. Vat. Laur. Bekk. ἐςακούσωσι.

Καὶ δύο. Καὶ ex Pal. It. Vat. T. F. Reg. interposuit Bekk. Cf. adn.

Cap. LXXXII. §. 1. Οὐ μὴν οὐδέ paulo graviores particulae quam οὐδὲ μήν, jedoch auch nicht. Cf. adn. II, 97. extr. — ἀναισθήτως hic, aliter atque 69, 3, est ἀναλγήτως. Consecutio verborum haec est, κελεύω (ἡμᾶς) ἀναισθήτως ἐᾶν αὐτοὺς (τοὺς Ἀθην.) βλάπτειν τοὺς ξυμμάχους ἡμῶν. — καταφωρᾶν] „ἐλέγχειν.“ Schol. — πόλεμον ... δηλοῦντας. Exquisitior formula, ut si dixeris bellum patefacientes, i. e. profitentes nos bellum gesturos. — μήθ᾽. Repetemente δηλοῦντας et ad ἐπιτρέψομεν verba αὐτοῖς τοὺς ξυμμάχους ἡμῶν βλάπτειν. — ὅσοι ὥςπερ καὶ ἡμεῖς ... ἐπιβουλευόμεθα. Verbum rei comparatae accommodatum est. Cf. III, 67. Xen. Cyr. IV, 1, 3. Demosth. Phil. I, 4, 3. Liv. IV, 2. Matth. Gr. §. 306. adn. 1. Praeterea cf. ib. §. 490. Rost. §. 112. 5. — καὶ ... ἐκποριζώμεθα. Haec respondent superioribus ξυμμάχων τε προςαγωγῇ, et oratio mutata est pro vv. καὶ τῷ ... ἐκπορίζεσθαι. Cf. adn. 80, 1. Τὰ αὐτῶν = τὰ ἡμέτερα αὐτῶν. Cf. Matth. Gr. §. 489. II. Rost. §. 99. adn. 4, sed etiam sd. Ἐκπορίζεσθαι est expromere, expedire, παρασκευάζεσθαι. Cf. c. 125.

§. 2. Διελθόντων ἐτῶν καὶ δύο καὶ τριῶν. Ita καὶ δὶς καὶ τρίς Plat. Phaedon. c. 8, δὶς καὶ τρίς Soph. Phil. 1222. Contra δὶς ἢ τρίς Thuc. II, 4. IV, 38. καὶ δὶς ἢ τρίς V, 10, ubi de καί vid. adn. De Lat. bis terque et terve vid. Bentl. ad Hor. Ep. I, 1, 33. Cf. etiam adn. supra 22, 2. — ἢν δοκῇ post πεφραγμένοι velis collocata. Hoc valet muniti, instructi ad bellum.

ἄμεινον ἤδη, ἣν δοκῇ, πεφραγμένοι ἴμεν ἐπ᾽
αὐτούς. καὶ ἴσως ὁρῶντες ἡμῶν ἤδη τήν τε παρα- 3
σκευὴν καὶ τοὺς λόγους αὐτῇ ὅμοια ὑποσημαίνον-
τας μᾶλλον ἂν εἴκοιεν, καὶ γῆν ἔτι ἄτμητον ἔχον-
τες, καὶ περὶ παρόντων ἀγαθῶν καὶ οὔπω ἐφθαρ-
μένων βουλευόμενοι. μὴ γὰρ ἄλλο τι νομίσητε 4
τὴν γῆν αὐτῶν ἢ ὅμηρον ἔχειν, καὶ οὐχ ἧσσον,
ὅσῳ ἄμεινον ἐξείργασται· ἧς φείδεσθαι χρὴ ὡς
ἐπὶ πλεῖστον, καὶ μὴ ἐς ἀπόνοιαν καταστήσαντας
αὐτοὺς ἀληπτοτέρους ἔχειν. εἰ γὰρ ἀπαράσκευοι 5
τοῖς τῶν ξυμμάχων ἐγκλήμασιν ἐπειχθέντες τε-
μοῦμεν αὐτήν, ὁρᾶτε, ὅπως μὴ αἴσχιον καὶ ἀπο-
ρώτερον τῇ Πελοποννήσῳ πράξωμεν. ἐγκλήματα 6
μὲν γὰρ καὶ πόλεων καὶ ἰδιωτῶν οἷόν τε κατα-
λῦσαι· πόλεμον δὲ ξύμπαντας ἀραμένους ἕνεκα
τῶν ἰδίων, ὃν οὐχ ὑπάρχει εἰδέναι, καθ᾽ ὅ τι
χωρήσει, οὐ ῥᾴδιον εὐπρεπῶς θέσθαι.

μηδὲ δειλίας ἔγκλημα εἶναι φοβητέον.

83. Καὶ ἀνανδρία μηδενὶ πολλοὺς μιᾷ πόλει 1
μὴ ταχὺ ἐπελθεῖν δοκείτω εἶναι. εἰσὶ γὰρ καὶ 2
ἐκείνοις οὐκ ἐλάσσους χρήματα φέροντες ξύμμαχοι,

§. 5. Πράξωμεν. Bekk. e Laur. et Anecd. p. 162. πράξομεν Cf. ad. c. 19.

§. 4. Μὴ γὰρ ... ἔχειν, nolite enim putare vos terram eorum alio quam pignoris loco habere. Bene Bloomf. comparat Liv. V, 42. non omnia concremari tecta, ut ... pignus ad flectendos hostium animos haberent. — οὐχ ἧσσον, ὅσῳ ἄμεινον, i. e. καὶ τοσούτῳ μᾶλλον, ὅσῳ ἄμ. De οὐχ ἧσσον vid. Moer. p. 182. et II, 52. De ὅσῳ sine τοσούτῳ posito vid. V, 108. VI, 89. et Stallb. ad Plat. Apol. c. 17.

§. 5. Τοῖς ... ἐγκλήμασιν ἐπειχθέντες, propter criminationes festinantes. De dativo vid. Matth. Gr. §. 398. b. Dubitatur tamen nonnihil de integritate horum verborum. Vid. ed. mai. — αἴσχιον καὶ ἀπορώτερον. Comparativorum ratio obscurior est; videtur tamen cogitandum esse ἢ αὐτῇ (τῇ Ἀττικῇ).

§. 6. Ἕνεκα τῶν ἰδίων] „οὐ γὰρ ἦν κοινὰ τὰ ἐγκλήματα πάντων τῶν Πελοποννησίων, ἀλλὰ μόνων τῶν Κορινθίων [καὶ ἄλλων τινῶν 67, 4.]“. Schol. — ὅν. De forma orationis cf. 72, 1. — χωρήσει. Similiter active ξυγχωρήσετε I, 140, προχωρήσειν III, 4. al. Cf. ed. mai. — θέσθαι, i. e. καταθέσθαι (I, 121.), ἀποθέσθαι, ut Latine ponere bellum dicitur.

Cap. LXXXIII. §. 2. Οὐκ ἐλάσσους ... ξύμμαχοι, non pauciores (quam no-

καὶ ἔστιν ὁ πόλεμος οὐχ ὅπλων τὸ πλέον, ἀλλὰ
δαπάνης, δι᾽ ἣν τὰ ὅπλα ὠφελεῖ, ἄλλως τε καὶ
3 ἠπειρώταις πρὸς θαλασσίους. πορισώμεθα οὖν
πρῶτον αὐτήν, καὶ μὴ τοῖς τῶν ξυμμάχων λό-
γοις πρότερον ἐπαιρώμεθα· οἵπερ δὲ καὶ τῶν
ἀποβαινόντων τὸ πλέον ἐπ᾽ ἀμφότερα τῆς αἰτίας
ἕξομεν, οὗτοι καὶ καθ᾽ ἡσυχίαν τι αὐτῶν προ-
ΐδωμεν.

τὸ δὲ βραδὺ σφῶν δύνασθαι σωφροσύνην ἔμφρονα εἶναι, ἐξ ἧς γίγνεσθαι σφᾶς πολεμικούς τε καὶ εὐβούλους.

1 84. Καὶ τὸ βραδὺ καὶ μέλλον, ὃ μέμφονται
μάλιστα ἡμῶν, μὴ αἰσχύνεσθε. σπεύδοντές τε
γὰρ σχολαίτερον ἂν παύσαισθε διὰ τὸ ἀπαρά-
σκευοι ἐγχειρεῖν, καὶ ἅμα ἐλευθέραν καὶ ἐνδοξο-
2 τάτην πόλιν διὰ παντὸς νεμόμεθα· καὶ δύναται
μάλιστα σωφροσύνη ἔμφρων τοῦτ᾽ εἶναι. μόνοι
γὰρ δι᾽ αὐτὸ εὐπραγίαις τε οὐκ ἐξυβρίζομεν, καὶ
ξυμφοραῖς ἧσσον ἑτέρων εἴκομεν· τῶν τε ξὺν
ἐπαίνῳ ἐξοτρυνόντων ἡμᾶς ἐπὶ τὰ δεινὰ παρὰ
τὸ δοκοῦν ἡμῖν οὐκ ἐπαιρόμεθα ἡδονῇ, καὶ ἤν
τις ἄρα ξὺν κατηγορίᾳ παροξύνῃ, οὐδὲν μᾶλλον
3 ἀχθεσθέντες ἀνεπείσθημεν. πολεμικοί τε καὶ

bis) socii, iique tributa pendentes. Cf. c. 19. — οὐ ... τὸ πλέον ἀλλά. Vid. Matth. Gr. §. 455. b. Kuehn. §. 742. adn. 5. Rost. §. 134. 6. e. Cf. II, 43, 2. 44, 4. Ἤ pro hoc ἀλλά II, 37, 1. — δι᾽ ἣν τὰ ὅπλα ὠφελεῖ. Haec si sincera sunt, ut apta sententia efficiatur, reddenda verbis cuius (sumptus) opera seu quo (sumptu) accedente demum arma iuvant. Cf. Matth. Gr. §. 580. 2. b. et Sint. ad Plut. Them. c. 18. Sunt tamen haec valde ambigue dicta. Quare ὠφελεῖται legendum coniecimus. Cf. III, 13. VI, 34.

§. 3. Οἵπερ δὲ ... ἕξομεν. Ἐπ᾽ ἀμφότερα valent in utramque partem. Cf. I, 139. II, 11. IV, 17. 58. VI, 60. VII, 48. Τὸ πλέον τῆς αἰτίας ἔχειν, propr. causae maiorem partem sustinere, i. e. praecipuos auctores videri, μάλιστα ἤτοι τὸ κλέος ἢ τὴν αἰσχύνην τῶν ἀποβαινόντων ἔχειν. Cf. II, 11, 9.

Cap. LXXXIV. §. 1. Ὃ μέμφονται. Vid. 69, 4. 70, 2. sqq. — ἡμῶν. Pendet ex relat. ὅ. Vid. Matth. Gr. §. 317.

§. 2. Δύναται ... εἶναι. Τοῦτο est τὸ βραδὺ καὶ μέλλον, ὃ μέμφονται. Hanc igitur cunctationem prudentem moderationem (vel modestiam) Archidamus dicit posse esse, quae σωφροσύνη Lacedaemoniis etiam c. 68. et VIII, 24. tribuitur. — εὐπραγίαις οὐκ ἐξυβρίζομεν. Cf. Matth. Gr. §. 398. b. — τῶν τε ... ἐξοτρυνόντων. Genitivi suspensi sunt ex ἡδονῇ, et significant ἡδονήν, ἣν παρέχουσιν οἱ ... ἐξοτρύνοντες. — ἀνεπείσθη-

εὔβουλοι διὰ τὸ εὔκοσμον γιγνόμεθα, τὸ μὲν ὅτι αἰδὼς σωφροσύνης πλεῖστον μετέχει, αἰσχύνης δὲ εὐψυχία, εὔβουλοι δὲ ἀμαθέστερον τῶν νόμων τῆς ὑπεροψίας παιδευόμενοι, καὶ ξὺν χαλεπότητι σωφρονέστερον ἢ ὥςτε αὐτῶν ἀνηκουστεῖν, καὶ μή, τὰ ἀχρεῖα ξυνετοὶ ἄγαν ὄντες, τὰς τῶν πολεμίων παρασκευὰς λόγῳ καλῶς μεμφόμενοι ἀνομοίως ἔργῳ ἐπεξιέναι, νομίζειν δὲ τάς τε διανοίας τῶν πέλας παραπλησίους εἶναι, καὶ τὰς

μεν. Cf. adn. ad ἐπλήρωσαν 70, 7. Ipsum verbum modo μεταπείθειν valet, modo paulo gravius est simplici πείθειν. Cf. I, 140. II, 65.

§. 3. Διὰ τὸ εὔκοσμον, i. e. τὸ σῶφρον, τὴν σωφροσύνην. Ἀσαφές, inquit Schol., τὸ χωρίον ποιεῖ ἡ τῶν ὀνομάτων ἐναλλαγή. τήν τε γὰρ αἰδῶ καὶ τὴν αἰσχύνην κατὰ τοῦ αὐτοῦ τίθησι συνωνύμως, καὶ τὸ λοιπὸν ἔμφασιν (speciem) παρέχει ὡς ἐπὶ ἄλλον καὶ ἄλλον τάσσων τὴν λέξιν. ὡς καὶ τὴν σωφροσύνην καὶ τὴν εὐκοσμίαν ὁμοίως τέθεικε. — τὸ μέν respicere ad πολεμικοί, quod idem paulo post τῇ εὐψυχίᾳ substantive exprimitur, contraria εὔβουλοι δέ certissime docent. Cf. Matth. Gr. §. 288. adn. 5. — αἰδώς, ut non multo post αἰσχύνη, est verecundia, pudor, i. e. dedecoris vitandi studium. — πλεῖστον μετέχει. Cf. III, 83. VI, 40. — αἰσχύνης δὲ εὐψυχία. „Cf. Plut. Cleom. c. 9. τὴν ἀνδρείαν δέ μοι δοκοῦσιν οὐκ ἀφοβίαν ἀλλὰ φόβον ψόγου καὶ δέος ἀδοξίας οἱ παλαιοὶ νομίζειν.“ BLOOMF. Vid. ibi Schoem. Add. Soph. Ai. v. 1075. sq. et αἰσχύνεσθαι II, 43. V, 9. — ἀμαθέστερα τῶν νόμων τῆς ὑπεροψίας, i. e. ἢ ὥςτε ὑπερορᾶν τῶν νόμων. Cf. Matth. Gr. §. 451. — καὶ μή. Suppl. παιδευόμενοι hoc modo, καὶ παιδευόμενοι (οὕτως ὥςτε) μὴ ... ἐπεξιέναι. — τὰ ἀχρεῖα] „τὰ σοφίσματα τῶν λόγων.“ Schol. De accusativo vid. Matth. Gr. §. 422. — ἔργῳ ἐπεξιέναι. Dubitari potest, utrum ad haec pertineat accusativus παρασκευάς, ut ἐπεξιέναι sit persequi, an, id quod Goell. vult, supplendum sit τὸν λόγον, ut sit exsequi. Nam Stephanus quidem in Thes. dativum ἔργῳ ex ἐπεξιέναι putat pendere rem ipsam exsequi interpretatus; at huic explicationi et omissus articulus et ἔργῳ contrarium λόγῳ obstat, fortasse etiam ipse casus alia vi addi huic verbo solitus. Cf. IV, 14. — νομίζειν ... εἶναι, sed (sic instituimur) ut ingenia aliorum (nostris) similia esse existimemus. Cf. Theogn. v. 658. ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα. Hic dicitur, quid Lacedaemonii iudicent, §. 4. extr. quid omnibus iudicandum sit. De vv. τῶν πέλας vid. adn. c. 32. — καὶ τὰς ... διαιρετάς, et fortunae casus non explicari oratione distincte (propr. definiri, describi) posse. Similiter Steph. in Thes. addens etiam ita accipi posse: tam varios esse fortunae eventus, ut nulla eorum iniri ratio possit et quasi in certa quaedam genera dividi. Quae explanatio ab illa parum differt. De usu verbi cf. V, 26. Non male

4 προςπιπτούσας τύχας οὐ λόγῳ διαιρετάς· ἀεὶ δὲ ὡς πρὸς εὖ βουλευομένους τοὺς ἐναντίους ἔργῳ παρασκευαζώμεθα· καὶ οὐκ ἐξ ἐκείνων ὡς ἁμαρτησομένων ἔχειν δεῖ τὰς ἐλπίδας, ἀλλ' ὡς ἡμῶν αὐτῶν ἀσφαλῶς προνοουμένων, πολύ τε διαφέρειν οὐ δεῖ νομίζειν ἄνθρωπον ἀνθρώπου, κράτιστον δὲ εἶναι ὅςτις ἐν τοῖς ἀναγκαιοτάτοις παιδεύεται.

1 85. Ταύτας οὖν ἃς οἱ πατέρες τε ἡμῖν παρέδοσαν μελέτας καὶ αὐτοὶ διὰ παντὸς ὠφελούμενοι ἔχομεν, μὴ παρῶμεν, μηδ' ἐπειχθέντες ἐν βραχεῖ μορίῳ ἡμέρας περὶ πολλῶν σωμάτων καὶ χρημάτων καὶ πόλεων καὶ δόξης βουλεύσωμεν, ἀλλὰ καθ' ἡσυχίαν. ἔξεστι δ' ἡμῖν μᾶλλον ἑτέρων διὰ ἰσχύν.

2 καὶ πρὸς τοὺς Ἀθηναίους πέμπετε μὲν περὶ τῆς Ποτιδαίας, πέμπετε δὲ περὶ ὧν οἱ ξύμμαχοί φασιν ἀδικεῖσθαι, ἄλλως τε καὶ ἑτοίμων ὄντων αὐτῶν δίκας δοῦναι· ἐπὶ δὲ τὸν διδόντα οὐ πρότερον

ἐς λόγους οὖν χρῆναι ξυνελθεῖν Ἀθηναίοις περὶ τῶν διαφορῶν.

Cap. LXXXIV. §. 4. Παρασκευαζώμεθα omnes membranae meliores. Vulgo et Bekk. παρασκευαζόμεθα. „Scribendum potius παρασκευαζώμεθα, quod perinde ac si dixisset παρασκευάζεσθαι δεῖ, ut sequitur ἔχειν δεῖ.“ STEPH. Convenit coniunctivus etiam iis, quae antecedunt. Vid. adn.

tamen διαιρετέας scribatur, quia non tam, quid posse, quam quid debere fieri Lacedaemonii existiment, docendum videtur. Οὐ autem positum est, quod scriptor οὐ λόγῳ διαιρετάς (διαιρετέας) dicens oppositurus erat ἀλλ' ἔργῳ πρὸς αὐτὰς παρασκευαστέον, quae latent in proximis ἀεὶ δὲ ... ἔργῳ παρασκευαζώμεθα. Cf. supra c. 71. init. VII, 74. init. Hart. de Partic. II. p. 125. sq.

§. 4. Ὡς πρὸς εὖ βουλευομένους τοὺς ἐναντίους. Cf. Matth. Gr. §. 595. 4. b. — καὶ οὐκ ... ἐλπίδας. Refelluntur his quodammodo verba Corinthiorum 69, 5. ἐπιστάμενοι ... περιγεγενημένους. — πολύ τε ... ἀνθρώπου. Ab Lacedaemonio haec pronunciari mirum est. Cf. tamen Cramer. Hist. educ. I, p. 201. — ἐν τοῖς ἀναγκαιοτάτοις. „I. e. in usu rerum et omnino in agendo magis quam in eloquentia.“ GOELL.

Cap. LXXXV. §. 1. Ὠφελούμενοι, cum emolumento nostro. — μᾶλλον ἑτέρων. Cf. Matth. Gr. §. 453. adn. 2. Rost. §. 109. adn. 6. infra II, 15. 60. — διὰ ἰσχύν] „δι' ἣν ἔχομεν ἰσχύν.“ Schol.

§. 2. Πέμπετε μὲν ... πέμπετε δέ. Anaphorae exempla Thucydidea alia reperies I, 126. II, 8. VI, 88. 104. VII, 24. 67. — οἱ ξύμμαχοι ... ἀδικεῖσθαι. Cf. c. 67. — δίκας δοῦναι. Cf. adn. c. 28. — διδόντα, volentem dare, offerentem. Cf. Rost. Gr. §. 116, adn. 5. et infra 104,

νόμιμον ὡς ἐπὶ ἀδικοῦντα ἰέναι. παρασκευάζεσθε
δὲ τὸν πόλεμον ἅμα. ταῦτα γὰρ [καὶ] κράτιστα
βουλεύσεσθε καὶ τοῖς ἐναντίοις φοβερώτατα."

παρελθὼν δὲ Στενελαΐδας διακελεύεται πολεμεῖν.

Καὶ ὁ μὲν Ἀρχίδαμος τοιαῦτα εἶπε· παρελθὼν 3
δὲ Σθενελαΐδας τελευταῖος, εἷς τῶν ἐφόρων τότε
ὤν, ἔλεξεν ἐν τοῖς Λακεδαιμονίοις ὧδε.

86. Τοὺς μὲν λόγους τοὺς πολλοὺς τῶν Ἀθη- 1
ναίων οὐ γιγνώσκω· ἐπαινέσαντες γὰρ πολλὰ ἑαυ-
τοὺς οὐδαμοῦ ἀντεῖπον, ὡς οὐκ ἀδικοῦσι τοὺς
ἡμετέρους ξυμμάχους καὶ τὴν Πελοπόννησον·
καίτοι εἰ πρὸς τοὺς Μήδους ἐγένοντο ἀγαθοὶ τότε,
πρὸς δὲ ἡμᾶς κακοὶ νῦν, διπλασίας ζημίας ἄξιοί
εἰσιν, ὅτι ἀντ' ἀγαθῶν κακοὶ γεγένηνται. ἡμεῖς 2
δὲ ὅμοιοι καὶ τότε καὶ νῦν ἐσμεν, καὶ τοὺς ξυμ-
μάχους, ἢν σωφρονῶμεν, οὐ περιοψόμεθα ἀδικου-
μένους, οὐδὲ μελλήσομεν τιμωρεῖν· οἱ δ' οὐκέτι
μέλλουσι κακῶς πάσχειν. ἄλλοις μὲν γὰρ χρήματά 3
ἐστι πολλὰ καὶ νῆες καὶ ἵπποι, ἡμῖν δὲ ξύμμαχοι
ἀγαθοί, οὓς οὐ παραδοτέα τοῖς Ἀθηναίοις ἐστίν, οὐ-
δὲ δίκαις καὶ λόγοις διακριτέα μὴ λόγῳ καὶ αὐτοὺς

Cap. LXXXV. §. 2. *Καὶ κράτιστα.* *Καί* om. Cass. Aug. Ven. Pal. Vat. al.

2. — *οὐ νόμιμον.* Cf. adn. 78, 4.

§. 3. *Ἐφόρων.* De ephoris vid. Herm. Antiqu. Gr. §. 43. sqq. et quos hic laudat. — *ἐν.* Cf. adn. 68, 2.

Cap. LXXXVI. „Haec brevis oratio Sthenelaidae moribus Lacedaemoniorum accommoda[ta est]. Plutarchus t. IX. 204. Reisk. iis orationibus adnumerat e genere *πολιτικῷ*, quae *ὄγκον* et *μέγεθος* spirent." GOTTL. admonitus a Schol.

§. 1. *Τοὺς μέν* cet. *Μέν* ad omnia verba *τοὺς λόγους ... Ἀθηναίων* spectat. Cf. §. 2. *ἡμ. δέ.* — *Ἐπαινέσαντες ... πολλὰ ἑαυτούς.* Cf. Rost. Gr. §. 104. adn. 7. Lob. ad Soph. Ai. v. 1107. Similiter *ἃ τὴν πόλιν ὕμνησα* II, 42, 2. — *ὡς οὐκ.* Cf. adn. 67, 3. — *διπλασίας ζημίας.* Cf. III, 67.

§. 2. *Καὶ τότε καὶ νῦν ἐσμεν.* Similiter III, 40. Cf. Dissen. ad Demosth. orat. de Cor. §. 31. Contra I, 141, 2. *πρότερόν τε ... ἦσαν ... καὶ νῦν.* — *οἱ δ'*, i. e. *οὗτοι γάρ.* De *δέ* vid. adn. 77, 3., de articulo adn. 37, 2.

§. 3. *Οὐδὲ δίκαις ... διακριτέα*, nec iudiciis ... disceptandum est. Accusativi igitur *αὐτοὺς βλαπτ.*, qui sequuntur, nec ex *διακρ.* pendere, nec ob addita *καὶ αὐτούς* per *σχῆμα διὰ μέσου* explicari pos-

βλαπτομένους, ἀλλὰ τιμωρητέα ἐν τάχει καὶ
4 παντὶ σθένει. καὶ ὡς ἡμᾶς πρέπει βουλεύεσθαι
ἀδικουμένους, μηδεὶς διδασκέτω, ἀλλὰ τοὺς μέλ-
λοντας ἀδικεῖν μᾶλλον πρέπει πολὺν χρόνον βου-
5 λεύεσθαι. ψηφίζεσθε οὖν, ὦ Λακεδαιμόνιοι, ἀξίως
τῆς Σπάρτης τὸν πόλεμον, καὶ μήτε τοὺς Ἀθη-
ναίους ἐᾶτε μείζους γίγνεσθαι, μήτε τοὺς ξυμ-
μάχους καταπροδιδῶμεν, ἀλλὰ ξὺν τοῖς θεοῖς
ἐπίωμεν πρὸς τοὺς ἀδικοῦντας."

οἱ δὲ Λακεδαιμόνιοι ψηφίζονται λελύσθαι τὰς σπονδὰς τῷ τετάρτῳ ἔτει τῶν τριακοντουτίδων σπονδῶν.

1 87. Τοιαῦτα δὲ λέξας ἐπεψήφιζεν αὐτός, ἔφο-
ρος ὤν, ἐς τὴν ἐκκλησίαν τῶν Λακεδαιμονίων.
2 ὁ δὲ (κρίνουσι γὰρ βοῇ καὶ οὐ ψήφῳ) οὐκ ἔφη
διαγιγνώσκειν τὴν βοήν, ὁποτέρα μείζων, ἀλλὰ
βουλόμενος αὐτοὺς φανερῶς ἀποδεικνυμένους τὴν
γνώμην ἐς τὸ πολεμεῖν μᾶλλον ὁρμῆσαι ἔλεξεν,
„Ὅτῳ μὲν ὑμῶν, ὦ Λακεδαιμόνιοι, δοκοῦσι λε-
λύσθαι αἱ σπονδαί, καὶ οἱ Ἀθηναῖοι ἀδικεῖν,
ἀναστήτω ἐς ἐκεῖνο τὸ χωρίον," δείξας τι χω-
ρίον αὐτοῖς· „ὅτῳ δὲ μὴ δοκοῦσιν, ἐς τὰ ἐπὶ

sunt, sed ut *ἀπολογησομένους* 72, 1. Spectant igitur ad Lacedaemonios.

§. 5. *Ἐπίωμεν πρὸς τοὺς ἀδικοῦντας.* Cf. IV, 92. extr. *πρὸς τοὺς μὴ ἀμυνομένους ἐπιόντες* et II, 65, 11. Saepius cum dativo iungitur (cf. Matth. Gr. §. 402. a. adn. 1.), raro cum accusativo, et hic non prorsus certa est praepositio. Cf. ed. mai.

Cap. LXXXVII. §. 1. *Ἐπεψήφιζεν ... ἐς τὴν ἐκκλησίαν.* Alibi *τῇ ἐκκλησίᾳ* vel cum accus. Vid. Matth. Gr. §. 402. adn. extr. p. 904. et de vi verbi adn. II, 24, 1. Infra §. 4. *ψῆφον ἐπάγειν.* De concione cf. adn. 67, 3.

§. 2. *Βοῇ, καὶ οὐ ψήφῳ.* Addi potuit *οὐδὲ χειροτονίᾳ.* Ceterum cf. Mans. Spart. I. 1. p. 93. Tittm. Respubl. Gr. p. 92. Wachsm. Antiqu. Gr. I. 1. p. 221. al. — *ὁποτέρα μείζων.* Vid. adn. c. 16. — *φανερῶς ἀποδεικνυμένους τὴν γνώμην.* Ut Megarenses plebem coegerunt *ψῆφον φανερὰν διενεγκεῖν* IV, 64, ubi vid. adn. — *ἐς τὸ πολεμεῖν μᾶλλον ὁρμῆσαι*, ad bellum magis incitare, de quo transitivo verbi usu vid. I, 127, 3. II, 20, 4. Plat. Ion. p. 534. C. Intransitive Thucydides si intelligi vellet, scriberet *ὡρμῆσθαι.* Cf. II, 59. 65. IV, 27. 29. al. — *ἀναστήτω ἐς ἐκεῖνο τὸ χωρίον.* Nota emphasis. Cf. VII, 49. VIII, 45. Thiersch. Gr. §. 313. 16. c. Rost. §. 139. 9. e. Exsurgere foras similiter dixit Plautus Mil. Gl. II, 1, 3. Ceterum sedisse Lacedaemonios in concionibus, antequam sententias rogarentur, ex his intelligimus. — *δείξας.* Participium ad *ἔλεξε* referendum orationi rectae interpositum est, ut Dion. Hal. Ant.

θάτερα.“ ἀναστάντες δὲ διέστησαν, καὶ πολλῷ 3
πλείους ἐγένοντο οἷς ἐδόκουν αἱ σπονδαὶ λελύ-
σθαι. προςκαλέσαντές τε τοὺς ξυμμάχους εἶπον, 4
ὅτι σφίσι μὲν δοκοῖεν ἀδικεῖν οἱ Ἀθηναῖοι, βού-
λεσθαι δὲ καὶ τοὺς πάντας ξυμμάχους παρακα-
λέσαντες ψῆφον ἐπαγαγεῖν, ὅπως κοινῇ βουλευ-
σάμενοι τὸν πόλεμον ποιῶνται, ἢν δοκῇ. καὶ οἱ 5
μὲν ἀπεχώρησαν ἐπ᾽ οἴκου διαπραξάμενοι ταῦτα,
καὶ οἱ Ἀθηναίων πρέσβεις ὕστερον ἐφ᾽ ἅπερ ἦλ-
θον χρηματίσαντες. ἡ δὲ διαγνώμη αὕτη τῆς 6
ἐκκλησίας, τοῦ τὰς σπονδὰς λελύσθαι, ἐγένετο ἐν
τῷ τετάρτῳ καὶ δεκάτῳ ἔτει τῶν τριακοντουτί-
δων σπονδῶν προκεχωρηκυιῶν, αἳ ἐγένοντο μετὰ
τὰ Εὐβοϊκά.

LXXXVII. §. 6. Ἐν τῷ τετάρτῳ καὶ δεκάτῳ ἔτει. Pal. It. Vat. H. Reg. Bekk. ἐν τῷ τετ. ἔτ. καὶ δεκ. At II, 2. τῷ πέμπτῳ καὶ δεκάτῳ ἔτει, VIII, 58. τρίτῳ καὶ δεκάτῳ ἔτει. Add. V, 56. 81. 83. VI, 7. Praepositio ἐν, quam hic tantum ad ἔτος cum cardinali iunctum addidit Thuc. (cf. I, 101. 103. 115. al.), suspecta esse posset, nisi similiter semel in optimis libris ἐπί appositum reperirietur VIII, 68.

Εὐβοϊκά. Aug. e. corr. Cl. H. Reg. T. Εὐβοεικά. Ita sane p. 501, et εἰπών orationi obliquae 136, 3, id quod audacius factum videbimus 137, 4. — ἐς τὰ ἐπὶ θάτερα, in alteram partem. Cf. VII, 84.

§. 3. Διέστησαν καί —. Est igitur discessio facta in Sthenelaidae sententiam, quibus verbis Latini rem sibi usitatam exprimerent.

§. 4. Τοὺς ξυμμάχους. H. e. legatos nonnullarum civitatum foederatarum. Cf. 67, 3. Hos paulo ante summotos esse legimus c. 79. — ὅτι ... δοκοῖεν ... βούλεσθαι δέ. Cf. Matth. Gr. §. 539. adn. 1. Rost. §. 122. adn. 3. II, 80. III, 2. 3. 71., IV, 27. 46. V, 61. al. — τοὺς πάντας ξυμμάχους παρακ. Vid. c. 119. — ψῆφον ἐπαγαγεῖν, suffragia iis dare, in suffragium eas mittere. Ψῆφον distributive dictum est, ut §. 2. c. 119. 125. IV, 64. et alibi ac γνώμην §. 2, denique Lat. suffragium.

§. 5. Χρηματίσαντες] „χρηματίσαι μέν ἐστι τὸ πρᾶξαι (maxime res publicas, cum populo agere de rp.), χρηματίσασθαι δὲ τὸ κερδᾶναι.“ Schol.

§. 6. Διαγνώμη. Vocabulum Thucydidis proprium pro v. διάγνωσις a grammaticis veteribus appellatur, legitur tamen etiam apud Dion. Cass. Redit III, 42. 67. — ἐν τῷ τετάρτῳ καὶ δεκάτῳ ἔτει. Ol. LXXXVII, 1. a. Chr. 432. — τριακοντουτίδων. Τριακοντούτιδας σπονδάς etiam Aristophanes appellat. Thucydides alibi τριακοντούτεις. Vid. I, 23. 115. II, 2. — τὰ Εὐβοϊκά. Vid. I, 114.

88. Ἐψηφίσαντο δὲ οἱ Λακεδαιμόνιοι τὰς σπονδὰς λελύσθαι, καὶ πολεμητέα εἶναι, οὐ τοσοῦτον τῶν ξυμμάχων πεισθέντες τοῖς λόγοις, ὅσον φοβούμενοι τοὺς Ἀθηναίους, μὴ ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ πολλὰ τῆς Ἑλλάδος ὑποχείρια ἤδη ὄντα.

ἡ ἀληθὴς αἰτία τούτου τοῦ ψηφίσματος λέγεται.

1 89. Οἱ γὰρ Ἀθηναῖοι τρόπῳ τοιῷδε ἦλθον
2 ἐπὶ τὰ πράγματα, ἐν οἷς ηὐξήθησαν. ἐπειδὴ Μῆ-
δοι ἀνεχώρησαν ἐκ τῆς Εὐρώπης νικηθέντες καὶ ναυσὶ καὶ πεζῷ ὑπὸ Ἑλλήνων, καὶ οἱ καταφυγόντες αὐτῶν ταῖς ναυσὶν ἐς Μυκάλην διεφθάρησαν, Λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῶν ἐν Μυκάλῃ Ἑλλήνων, ἀπεχώρησεν ἐπ᾽ οἴκου ἔχων τοὺς ἀπὸ Πελοποννήσου ξυμμάχους· οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ἀπὸ Ἰωνίας καὶ Ἑλληςπόντου ξύμμαχοι ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως ὑπομείναντες Σηστὸν ἐπολιόρκουν, Μήδων ἐχόντων, καὶ ἐπιχειμάσαντες εἷλον αὐτήν, ἐκλι-

οἱ γὰρ Ἀθηναῖοι τρόπῳ τοιῷδε ηὐξήθησαν. μετὰ τὴν Μήδων ἀναχώρησιν Σηστόν τε ἐξεπολιόρκησαν, καὶ τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζοντο καὶ τὰ τείχη.

vulgo Steph. Byz. Herod. III, 89. 95. VIII, 19., sed nusquam sine dissensu meliorum membranarum. Cf. Dind. in Steph. Thes.

Cap. LXXXVIII. Ἐψηφίσαντο —. Transit scriptor ad veram belli causam. Cf. c. 23. extr. — ἐπὶ μεῖζον. Quum μέγα δύνασθαι dicatur, placeat alicui coniectura ἔτι μ. Vulgata tamen dicendi generibus similibus ἐπὶ τὸ μεῖζον, de quo cf. adn. c. 10, ἐπὶ μέγα, ἐπὶ πολύ, ἐπὶ πλεῖστον, de quibus cf. adn. 1, 2. et 50, 2, videtur fulciri.

Cap. LXXXIX. „Ἀρχὴ τῆς πεντηκονταετίας. θαυμάζεται τὸ χωρίον καὶ ἐπὶ τῇ σαφηνείᾳ καὶ ἐπὶ τῇ συντομίᾳ.“ Schol. Nomine τῆς πεντηκονταετίας s. τῆς πεντηκονταετηρίδος (Schol. I, 18. 42.) veteres grammatici locum, qui sequitur c. 89–96, una cum proximo c. 97—118. insigniunt. Cum Thucydide praeter scriptores, qui singulas res illustrant, usquequaque comparandus est Diodorus inde a l. XI. c. 39, de cuius et Thucydidis dissensu in complurium rerum ordine et temporibus vid. Mans. Spart. I. 2. p. 313. sqq. De temporibus rerum gestarum recte constituendis et de partibus huius πεντηκονταετηρίδος vid. Clinto de Thucydidis summario in Fast. Hellen. Append. VIII. p. 253. sqq.

§. 1. Ἦλθον ... ηὐξήθησαν, ad res (gerendas) eas venerunt, per quas creverunt.

§. 2. Ἐπειδή —. Ol. LXXV, 2. a. Chr. 479. — οἱ δὲ Ἀθηναῖοι. Xanthippo duce. — Σηστὸν ἐπολιόρκουν. Cf. Herod. IX, 114—118. cl. VII, 33. 78. Diod. XI. 37. Thuc. VIII, 62. — ἐχόντων. Suppl. αὐτήν. Cf. c. 94. 98. al. — ἐπιχειμάσαντες εἷλον. Itaque a. 478. — αὐτήν] „Σηστὸς ἡ πόλις λέγεται καὶ ἀρσενικῶς καὶ θη-

πόντων τῶν βαρβάρων. καὶ μετὰ τοῦτο ἀπέπλευσαν ἐξ Ἑλλησπόντου ὡς ἕκαστοι κατὰ πόλεις. 3 Ἀθηναίων δὲ τὸ κοινόν, ἐπειδὴ αὐτοῖς οἱ βάρβαροι ἐκ τῆς χώρας ἀπῆλθον, διεκομίζοντο εὐθὺς ὅθεν ὑπεξέθεντο παῖδας καὶ γυναῖκας καὶ τὴν περιοῦσαν κατασκευήν, καὶ τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζοντο καὶ τὰ τείχη. τοῦ τε γὰρ περιβόλου βραχέα εἱστήκει, καὶ οἰκίαι αἱ μὲν πολλαὶ πεπτώκεσαν, ὀλίγαι δὲ περιῆσαν, ἐν αἷς αὐτοὶ ἐσκήνησαν οἱ δυνατοὶ τῶν Περσῶν.

Λακεδαιμόνιοι μὲν τὴν τείχισιν τῶν Ἀθηνῶν μέλλουσι κωλύειν.

1 **90.** Λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸ μέλλον ἦλθον πρεσβείᾳ, τὰ μὲν καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήτε ἐκείνους μήτ' ἄλλον μηδένα τεῖχος ἔχοντα, τὸ δὲ πλέον τῶν ξυμμάχων ἐξοτρυνόντων, καὶ φοβουμένων τοῦ τε ναυτικοῦ αὐτῶν τὸ πλῆθος, ὃ πρὶν οὐχ ὑπῆρχε, καὶ τὴν ἐς τὸν Μηδικὸν πόλεμον τόλμαν γενομένην. 2 ἠξίουν τε αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον ὅσοις [ξυν]ειστήκει ξυγκαθελεῖν μετὰ σφῶν τοὺς περιβόλους, τὸ μὲν βουλόμενον καὶ ὕποπτον τῆς γνώμης οὐ δηλοῦντες ἐς τοὺς Ἀθηναίους, ὡς δὲ τοῦ βαρβάρου, εἰ αὖθις ἐπέλθοι, οὐκ ἂν ἔχοντος ἀπὸ ἐχυροῦ ποθεν, ὥςπερ νῦν ἐκ τῶν Θηβῶν, ὁρμᾶσθαι· τήν τε Πελοπόννησον πᾶσιν ἔφασαν ἱκανὴν εἶναι ἀναχώρησίν τε καὶ
3 ἀφορμήν. οἱ δ' Ἀθηναῖοι Θεμιστοκλέους γνώμῃ τοὺς μὲν Λακεδαιμονίους ταῦτ' εἰπόντας, ἀποκρινάμενοι, ὅτι πέμψουσιν ὡς αὐτοὺς πρέσβεις περὶ ὧν λέγουσιν, εὐθὺς ἀπήλλαξαν· ἑαυτὸν δὲ ἐκέλευεν ἀποστέλλειν ὡς τάχιστα ὁ Θεμιστοκλῆς ἐς τὴν Λακεδαίμονα, ἄλλους δὲ πρὸς ἑαυτῷ ἑλομένους πρέσβεις μὴ εὐθὺς ἐκπέμπειν, ἀλλ' ἐπισχεῖν μέχρι τοσούτου, ἕως ἂν τὸ τεῖχος ἱκανὸν αἴρωσιν, ὥςτε ἀπομάχεσθαι ἐκ τοῦ ἀναγκαιοτάτου

Cap. XC. §. 1. *Μήτ' ἄλλον.* Cass. Aug. *μηδ' ἄλ.* Cf. Matth. Gr. §. 609. p. 1446. Rost. §. 134. d.

§. 2. *Ξυνειστήκει.* C. Bas. Laur. D. *εἱστήκει.* Quod aptius videtur (cf. 89, 3.), et recepit Bekk. Vulgatum tamen de muris continuis, non divulsis, oppositum Athenarum *περιβόλῳ, οὗ βραχέα εἱστήκει* (l. d.), dici posse existimat Arn. Cf. Did., qui comparat *συμμένειν.*

Αἴρωσιν. Bekk. de coniectura *ἄρωσιν.* *Ἕως ἂν αἴρωσιν* valent dum erigerent, *ἕως ἂν ἄρωσιν* donec erexissent.

— *λυκῶς.*" Schol. Cf. Schaef. ad Demosth. IV, p. 122. Saepius tamen femininum est. Vid. interpr. Liv. XXXVII, 10, 8. — *ὡς ἕκαστοι.* Cf. adn. 3, 4.

§. 3. *Τὸ κοινόν, ἐπειδὴ αὐτοῖς ... ἀπῆλθον, διεκομίζοντο.* Cf. Matth. Gr. §. 302. et §. 389. g. 1. Rost. §. 100. 4. b. et §. 105. adn. 3. — *ὅθεν ὑπεξέθεντο*] „*τουτέστιν ἐκ Τροιζῆνος καὶ ἐκ Σαλαμῖνος.*" Schol. Cf. Diod. XI, 39. Paus. II, 31, 10. Nep. Them. 2. al. in ed. mai. d. De *ὅθεν* vid. Matth. Gr. §. 473. adn. 2. Rost. §. 123ᵃ. adn. 7. — *παῖδας καὶ γυναῖκας.* Cf. Matth. Gr. §. 264. 5. p. 704. Rost. §. 98. 6. — *βραχέα*, i. e. *ὀλίγα, μικρά.* Cf. adn. 14, 3. „Paene nihil supererat. Vid. Herod. IX, 13." BLOOMF. — *οἰκίαι*] „*ἀντὶ τοῦ οἰκιῶν.*" Schol. Cf. Matth. Gr. §. 319. Rost. §. 101. 3. b. — *πεπτώκεσαν.* De augmento omisso cf. Matth. Gr. §. 165. 2. Rost. §. 68. II, 2. infra III, 23. IV, 34. 90. V, 14. al. — *ἐσκήνησαν.* Pro hoc *ἐσκήνηντο* II, 52, 3.

Cap. XC. §. 1. *Ἦλθον πρεσβείᾳ*, i. e. *διὰ πρεσβείας.* Cf. Aeschin. adv. Ctes. §. 95. *ἀφικνεῖται γὰρ πρὸς ὑμᾶς οὐκέτι δι' ἀγγέλων, ἀλλ' αὐτός.* — *τὰ μέν.* His deinde respondent *τὸ δὲ πλέον.* Cf. Vig. p. 14. et ibi Herm. — *ἂν ὁρῶντες.* Cf. Rost. Gr. §. 120. e. bb. β'. et supra 73, 4. — *ὃ ... ὑπῆρχε.* Cf. 14, 3. — *τὴν ... τόλμαν γενομένην.* Similiter collocata verba I, 11. *ὁ νῦν ... διὰ τοὺς ποιητὰς λόγος κατεσχηκώς.* Cf. II, 15. 38. III, 54. 56. IV, 38. 87. 114. al.

§. 2. *Ἀλλὰ καί.* Non antecedit *μόνον*, ut I, 144. VI, 55. VIII, 27. Cf. Schoem. ad Plut. Ag. 12, 4. — *ξυνειστήκει.* Ex v. *τειχίζειν* repetendum *τὰ τείχη.* Cf. 91, 1. et ibi adn. — *σφῶν, τῶν Λακεδαιμονίων.* — *τὸ βουλόμενον.* Cf. Matth. Gr. §. 570. et 271. Rost. §. 130. 6. Add. VI, 24. VII, 68. 83. al. — *ὡς δὲ τοῦ βαρβάρου ... οὐκ ἂν ἔχοντος.* I. e. *φάσκοντες δέ, ὅτι (εἰ μὴ τειχίζοιεν, ἀλλὰ καὶ ... ξυγκαθέλοιεν ... τοὺς περιβόλους) ὁ βάρβαρος ... οὐκ ἂν ἔχοι.* Cf. Rost. Gr. §. 120. e. bb. ε'. et III, 37. De re cf. Diod. XI, 39. Nep. Them. c. 6. Iust. II, 15. — *ἀπὸ ἐχυροῦ ποθεν*, alicunde e loco munito. — *ἐκ τῶν Θηβῶν.* Cf. Herod. IX, 13. et alibi. — *ὁρμᾶσθαι.* Cf. adn. 64, 2. — *ἀναχώρησίν τε καὶ ἀφορμήν.* „Distinguo *ἀναχώρησιν*, locum, praesidium, quo reciperent sese, et *ἀφορμήν*, unde erumperent." BAU. *Ἀναχώρησιν* alibi *καταφυγήν* vocant, *ἀφορμήν* autem *ὁρμητήριον*, sedem belli. Omnino varia praesidia belli *ἀφορμάς* vocari satis constat.

§. 3. *Θεμιστοκλέους γνώμῃ.* De tota fraude Themistoclis praeter Diod. Nep. Iust. l. d. cf. Plut. Themist. c. 19. Polyaen. I, 30, 4. Frontin. I, 1, 10. — *μέχρι τοσούτου, ἕως ἄν.* Cf. Matth. Gr. §. 480. b. — *Ἱκανὸν ... ὥστε ἀπομάχεσθαι.* Cf. Matth. Gr. §. 534. adn. 1.

ὕψους· τειχίζειν δὲ πάντας πανδημεὶ τοὺς ἐν τῇ
πόλει, καὶ αὐτοὺς καὶ γυναῖκας καὶ παῖδας, φει-
δομένους μήτε ἰδίου μήτε δημοσίου οἰκοδομήμα-
τος, ὅθεν τις ὠφελία ἔσται ἐς τὸ ἔργον, ἀλλὰ
καθαιροῦντας πάντα. καὶ ὁ μὲν ταῦτα διδάξας 4
καὶ ὑπειπών, τἆλλα ὅτι αὐτὸς τἀκεῖ πράξοι, ᾤχε-
το. καὶ ἐς τὴν Λακεδαίμονα ἐλθὼν οὐ προσῄει 5
πρὸς τὰς ἀρχάς, ἀλλὰ διῆγε καὶ προὐφασίζετο·
καὶ ὁπότε τις αὐτὸν ἔροιτο τῶν ἐν τέλει ὄντων,
ὅ τι οὐκ ἐπέρχεται ἐπὶ τὸ κοινόν, ἔφη τοὺς ξυμ-
πρέσβεις ἀναμένειν, ἀσχολίας δέ τινος οὔσης αὐ-
τοὺς ὑπολειφθῆναι, προσδέχεσθαι μέντοι ἐν τάχει
ἥξειν, καὶ θαυμάζειν, ὡς οὔπω πάρεισιν.

Θεμιστοκλῆς δὲ αὐτοὺς παραπείθει.

91. Οἱ δὲ ἀκούοντες τῷ μὲν Θεμιστοκλεῖ ἐπεί- 1
θοντο διὰ φιλίαν αὐτοῦ· τῶν δὲ ἄλλων ἀφι-
κνουμένων καὶ σαφῶς κατηγορούντων, ὅτι τειχί-
ζεταί τε καὶ ἤδη ὕψος λαμβάνει, οὐκ εἶχον, ὅπως
χρὴ ἀπιστῆσαι. γνοὺς δὲ ἐκεῖνος κελεύει αὐτοὺς 2
μὴ λόγοις μᾶλλον παράγεσθαι ἢ πέμψαι σφῶν
αὐτῶν ἄνδρας, οἵτινες χρηστοὶ καὶ πιστῶς ἀπαγ-

§. 5. *Διῆγε.* „*Διάγειν* sine casu pro *διάγειν τὸν χρόνον* videtur positum a Thuc." STEPH. in Thes. Ubi cum *διαμέλλειν* aliisque verbis, quae cunctandi tergiversandique significationem habeant, componi a Polluce et sic legi etiam apud Dion. Cass. adnotat Dind. Simulato morbo aliquantum temporis extraxit, pro his dixit Frontin. I, 1, 10. — *ὅ τι.* Cf. Matth. Gr. §. 488. 8. — *ἐπὶ τὸ κοινόν*, ad rempublicam, ad concionem populi. Cf. Muell. Dor. II. p. 121. et infra II, 12, 2. Secus Lachm. Respubl. Laced. p. 206.

Cap. XCI. §. 1. *Διὰ φιλίαν αὐτοῦ.* De re vid. 74, 1. — *τῶν δὲ ἄλλων ἀφικνουμένων.* Articulus offensioni est, quum de aliis Graecis Lacedaemonem advenientibus agatur. Coniiceremus *τινῶν*, si hoc sic anteponi posse exemplis talibus, qualia sunt *πείθουσί τινας ὀλίγους* IV, 46, *σῖτον ἀνεκομίσαντό τινα ζεύγη κομίσαντες* VI, 7, similibus, satis demonstraretur. Suspiceris etiam *τῶν δὲ ἄλλων τῶν ἀφικνουμένων* legendum esse, si proximo *καί* intendendi vim recte tribuerit Haack. Poliarchen Aeginetam ex his viris nominat Plut. Them. c. 19. — *ὕψος λαμβάνει.* Suppl. *τὸ τεῖχος*. Cf. Matth. Gr. §. 295. 1. p. 752. et supra 90, 2. — *οὐκ εἶχον, ὅπως χρὴ ἀπιστῆσαι.* Similiter *χρή* VII, 44. et alibi. Vid. ed. mai.

§. 2. *Μὴ ... μᾶλλον ... ἤ*, non magis ... quam, i. e. minus ... quam, non tam ... quam. *Παράγεσθαι* est *ἀπατᾶσθαι.* — *οἵτινες χρηστοί.* Cf. adn. c. 16.

3 γελοῦσι σκεψάμενοι. ἀποστέλλουσιν οὖν· καὶ
περὶ αὐτῶν ὁ Θεμιστοκλῆς τοῖς Ἀθηναίοις κρύφα
πέμπει κελεύων ὡς ἥκιστα ἐπιφανῶς κατασχεῖν
καὶ μὴ ἀφεῖναι, πρὶν ἂν αὐτοὶ πάλιν κομισθῶ-
σιν· ἤδη γὰρ καὶ ἧκον αὐτῷ οἱ ξυμπρέσβεις,
Ἁβρώνιχός τε ὁ Λυσικλέους καὶ Ἀριστείδης ὁ
Λυσιμάχου, ἀγγέλλοντες ἔχειν ἱκανῶς τὸ τεῖχος·
ἐφοβεῖτο γάρ, μὴ οἱ Λακεδαιμόνιοι σφᾶς, ὁπότε
4 σαφῶς ἀκούσειαν, οὐκέτι ἀφῶσιν. οἵ τε οὖν
Ἀθηναῖοι τοὺς πρέσβεις, ὥσπερ ἐπεστάλη, κατεῖ-
χον, καὶ Θεμιστοκλῆς ἐπελθὼν τοῖς Λακεδαιμο-
νίοις ἐνταῦθα δὴ φανερῶς εἶπεν, ὅτι ἡ μὲν πόλις
σφῶν τετείχισται ἤδη, ὥστε ἱκανὴ εἶναι σώζειν
τοὺς ἐνοικοῦντας· εἰ δέ τι βούλονται Λακεδαι-
μόνιοι ἢ οἱ ξύμμαχοι πρεσβεύεσθαι παρὰ σφᾶς,
ὡς πρὸς διαγιγνώσκοντας τὸ λοιπὸν ἰέναι τά τε
5 σφίσιν αὐτοῖς ξύμφορα καὶ τὰ κοινά. τήν τε γὰρ
πόλιν ὅτε ἐδόκει ἐκλιπεῖν ἄμεινον εἶναι καὶ ἐς
τὰς ναῦς ἐσβῆναι, ἄνευ ἐκείνων ἔφασαν γνόντες
τολμῆσαι, καὶ ὅσα αὖ μετ' ἐκείνων βουλεύεσθαι,
6 οὐδενὸς ὕστεροι γνώμῃ φανῆναι. δοκεῖν οὖν σφίσι
καὶ νῦν ἄμεινον εἶναι τὴν ἑαυτῶν πόλιν τεῖχος

§. 3. *Ἀποστέλλουσιν οὖν.* Secundum Nepotem tres viros functos summis honoribus. — *κρύφα.* Per servum, si fides Iustino; certe non per collegas, quos commemorat Nepos. — *πέμπει*, ut alibi *ἐπιστέλλει.* *Κελεύων* omitti potuit; sed vid. II, 81. 95. IV, 93. al. — *αὐτοί*, i. e. ipse et collegae. — *ἤδη γάρ —.* Hoc enunciato Thucydides solum pluralem *αὐτοί* explicat, altero autem, in quo *γάρ* legitur, causam affert, cur talia Themistocles Atheniensibus mandaverit. Cf. I, 40, 6. III, 2, 3. — *Ἁβρώνιχος.* De eo cf. Herod. VIII, 21. et personati Themistoclis Ep. IX. et X.

§. 4. *Ἐνταῦθα δή* post partic. ut II, 58. et tum vero Sal. Iug. c. 61, tum demum, ibi vero, similia apud Liv. Cf. Saupp. ad Xen. Mem. III, 5, 8. — *ὡς πρός* cet. Consecutio verborum haec est, *τὸ λοιπὸν ἰέναι ὡς πρὸς διαγ. τά.* — *τὰ κοινά*, i. e. *τὰ κοινὰ ξύμφορα.* Cf. adn. 37, 4. et *τὰ ἴδια διάφορα* II, 37.

§. 5. *Ἔφασαν.* De iis, quae Themistocles cum duobus collegis egit, primum *εἶπεν*, tum *ἔφασαν*, denique *ἔφη* legitur. Cf. VIII, 56. et adn. III, 51. — *ὅσα ... βουλεύεσθαι.* Cf. Matth. Gr. §. 538. Rost. §. 123. adn. 4. — *οὐδενὸς ὕστεροι.* Cf. adn. II, 94, 1.

ἔχειν, καὶ ἰδίᾳ τοῖς πολίταις καὶ ἐς τοὺς πάντας
ξυμμάχους ὠφελιμώτερον ἔσεσθαι. οὐ γὰρ οἷόν 7
τ' εἶναι μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς ὅμοιόν τι
ἢ ἴσον ἐς τὸ κοινὸν βουλεύεσθαι. ἢ πάντας οὖν
ἀτειχίστους ἔφη χρῆναι ξυμμαχεῖν, ἢ καὶ τάδε
νομίζειν ὀρθῶς ἔχειν.

οἱ δὲ ἀδήλως ἤχθοντο.

92. Οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες ὀργὴν μὲν φανερὰν οὐκ ἐποιοῦντο τοῖς Ἀθηναίοις· (οὐδὲ γὰρ ἐπὶ κωλύμῃ, ἀλλὰ γνώμης παραινέσει δῆθεν τῷ κοινῷ ἐπρεσβεύσαντο· ἅμα δὲ καὶ προςφιλεῖς ὄντες ἐν τῷ τότε διὰ τὴν ἐς τὸν Μῆδον προθυμίαν τὰ μάλιστ' αὐτοῖς ἐτύγχανον·) τῆς μέντοι βουλήσεως ἁμαρτάνοντες ἀδήλως ἤχθοντο. οἵ τε πρέσβεις ἑκατέρων ἀπῆλθον ἐπ' οἴκου ἀνεπικλήτως.

Ἀθῆναι ἐν ὀλίγῳ χρόνῳ

93. Τούτῳ τῷ τρόπῳ οἱ Ἀθηναῖοι τὴν πό- 1
λιν ἐτείχισαν ἐν ὀλίγῳ χρόνῳ. καὶ δήλη ἡ οἰκο- 2

§. 6. Ἐς τοὺς ... ὠφελιμώτερον. Sic utiliter in publicum, gratus in vulgus, in maximam populi partem est optimum. Vid. Hand. Tursel. III. p. 314. sq. Cf. adn. 6, 2. et Walth. ad Tac. Ann. II, 39.

§. 7. Μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς. De μή vid. Rost. Gr. §. 135. adn. Ἀπὸ ... παρασκευῆς, quasi dixeris ὁρμωμένους ἀπὸ παρ., i. e. οὔσης παρ., nostrum von ... aus, bei. Cf. c. 97. ἀπὸ κοινῶν ξυνόδων βουλευόντων, item II, 62. IV, 18. V, 89. 103. VI, 46. 102. al. Totam sententiam sic illustrat Schol. ἴσως γὰρ πολεμίων ἐλθόντων ἡμῖν μὲν δόξει μὴ μάχεσθαι, ἀλλὰ σπένδεσθαι, ὡς μὴ ἔχουσι τεῖχος, τοῖς δὲ ἄλλοις πολεμεῖν. — ἐς τὸ κοινὸν βουλεύεσθαι. Sic Lat. in commune consulere Ter. Andr. III, 3, 16. ubi vid. Ruhnk. et consultare Plin. Ep. VI, 16, 15. in publicum et saepius in medium consulere s. consultare. Cf. Hand. Turs. III. p. 333.

Cap. XCII. Κωλύμῃ. Pro κωλύσει poeticum appellat Dion. Hal. p. 794, Thucydidis proprium Schol. et lexicographi. Legitur certe aliquoties apud Herodian., item apud Menand. histor. et alios recentiores. Vid. Steph. Thes. ed. rec., ubi adde Cantac. IV, 17. 34. et Pseudo-Themist. Ep. IX. Redit IV, 27. 63. — γνώμης παραινέσει ... τῷ κοινῷ, sed ut consilio monerent in commune, seu ut in commune consilium darent. Cf. Matth. Gr. §. 389. 3. et 390. Rost. §. 105. 6. „Et Diod. XI, 39.“ SINTEN. Alii τῷ κοινῷ iungunt cum ἐπρεσβεύσαντο, sed ob verba ἐς τὸ κοινὸν βουλεύεσθαι c. 91. illa enodatio praestat. De δῆθεν vid. Zeun. ad Vig. p. 499. et Matth. Gr. §. 603. — ἐν τῷ τότε. Cf. adn. 32, 4.

Cap. XCIII. §. 2. Δήλη ...

τειχίζονται, καὶ ὁ Πειραιεὺς δὲ οἰκοδομεῖται.

δομία ἔτι καὶ νῦν ἐστιν, ὅτι κατὰ σπουδὴν ἐγένετο. οἱ γὰρ θεμέλιοι παντοίων λίθων ὑπόκεινται καὶ οὐ ξυνειργασμένων ἔστιν ῇ, ἀλλ' ὡς ἕκαστοί ποτε προςέφερον· πολλαί τε στῆλαι ἀπὸ σημάτων καὶ λίθοι εἰργασμένοι ἐγκατελέγησαν. μείζων γὰρ ὁ περίβολος πανταχῇ ἐξήχθη τῆς πόλεως, καὶ διὰ τοῦτο πάντα ὁμοίως κινοῦντες ἠπείγοντο.
3 ἔπεισε δὲ καὶ τοῦ Πειραιῶς τὰ λοιπὰ ὁ Θεμιστοκλῆς οἰκοδομεῖν, (ὑπῆρκτο δ' αὐτοῦ πρότερον ἐπὶ τῆς ἐκείνου ἀρχῆς ἧς κατ' ἐνιαυτὸν Ἀθηναίοις ἦρξε,) νομίζων τό τε χωρίον καλὸν εἶναι, λιμέ-

ἐστιν, ὅτι ... ἐγένετο. Cf. Matth. Gr. §. 297. et 549, 5. adn. Rost. §. 122. 8. b. — κατὰ σπουδήν, festinanter. Cf. adn. II, 90. — οἱ θεμέλιοι. Cf. Matth. Gr. §. 95. b. — οὐ ξυνειργασμένων. Distinguuntur hi et εἰργασμένοι, qui paulo post dicuntur. Ξυνειργασμένοι sunt caesi, caedendo sive ascia ficti, behauene Steine; εἰργασμένοι caelati, zu Bildsäulen oder von Bildhauern bearbeitete Steine. — σημάτων, i. e. μνημάτων, τάφων. Cf. II, 34. et Diod. atque Nep. l. d. — ἐγκατελέγησαν] „ἐγκατῳκοδομήθησαν.“ Schol. - μείζων ἐξήχθη. Haec illustrare studet Forchhamm. in Stud. philol. Kiloniens. p. 284. sq.

§. 3. Ἔπεισε δὲ καί cet. Cf. Paus. I, 1, 2. Diod. XI, 41. Plut. et Nep. l. d. — ὑπῆρκτο δ' αὐτοῦ, i. e. τοῦ Πειραιῶς vel potius τοῦ οἰκοδομεῖν τὸν Π., initium autem eius rei factum erat. Cf. Matth. Gr. §. 297. adn. 2. — ἐπὶ τῆς ἐκείνου ἀρχῆς. Themistoclem archontem fuisse Ol. LXXI, 4. a. Chr. 493, id quod iam alii ex Dion. Hal. Ant. VI, 34. collegerant, demonstrare studuit Boeckh. in disput. de archontibus pseudeponymis inserta Seebod. Bibl. crit. nov. a. 1828. no. 79. Contra quem disputat Krueger in Stud. histor. et philol. p. 13. sqq., qui Ol. LXXIV, 3. rem vult factam esse. Denique Ol. LXXIV, 4. a. Chr. 481. praeter Dodw. ponit Clinto Fast. Hell. p. XVI, quocum facit Bulwer Athen. l. IV. §. 1. p. 177. ed. Lips. Cf. etiam Muell. ad Leak. Athen. p. 452. et de Muniment. Athen. p. 8. et Thirwall. Hist. Gr. p. 512. et Schultz. Stud. philol. Kilon. p. 197. — ἧς ... Ἀθηναίοις ἦρξε. Ἀρχὴν Ἀθηναίοις ἄρξαι = ἄρχοντα παρ' Ἀθηναίοις εἶναι. Cf. II, 2. VI, 54. Matth. Gr. §. 360. adn. 2. Κατ' ἐνιαυτόν verba aut insolentius dicta sunt pro κατά τινα ἐνιαυτόν, ἐνιαυτὸν ἕνα, quibus explicat Schol., aut cum ἀρχῆς ἧς ita cohaerent, ut ἀρχὴ κατ' ἐνιαυτὸν οὖσα sit annua. — λιμένας ... τρεῖς. Cf. Paus. et Nep. l. d. et Schol. Aristoph. Pac. v. 144. Ex hoc duos τὸν Κανθάρου λιμένα et τὸ Ἀφροδίσιον, ex Hesychio in Ζέα tertium Ζέαν appellatum esse vulgo docent. Cf. Leak. Athen. p. 340. interpr. Germ. At Scholiastae illius verba aliter interpretatus pro Ἀφροδισίῳ nominandum esse Πειραιᾶ κατ' ἐξοχήν docere studet Kapp. de Re navali Athen.

νας ἔχον τρεῖς αὐτοφυεῖς, καὶ αὐτοὺς ναυτικοὺς
γεγενημένους μέγα προφέρειν ἐς τὸ κτήσασθαι
δύναμιν. τῆς γὰρ δὴ θαλάσσης πρῶτος ἐτόλμη- 4
σεν εἰπεῖν ὡς ἀνθεκτέα ἐστί, καὶ τὴν ἀρχὴν εὐ-
θὺς ξυγκατεσκεύαζε. καὶ ᾠκοδόμησαν τῇ ἐκείνου 5
γνώμῃ τὸ πάχος τοῦ τείχους, ὅπερ νῦν ἔτι δῆ-
λόν ἐστι περὶ τὸν Πειραιᾶ· δύο γὰρ ἅμαξαι
ἐναντίαι ἀλλήλαις τοὺς λίθους ἐπῆγον. ἐντὸς δὲ
οὔτε χάλιξ οὔτε πηλὸς ἦν, ἀλλὰ ξυνῳκοδομημέ-
νοι μεγάλοι λίθοι καὶ ἐν τομῇ ἐγγώνιοι, σιδήρῳ
πρὸς ἀλλήλους τὰ ἔξωθεν καὶ μολίβδῳ δεδεμέ-
νοι. τὸ δὲ ὕψος ἥμισυ μάλιστα ἐτελέσθη οὗ διε-

6 *νοεῖτο. ἐβούλετο γὰρ τῷ μεγέθει καὶ τῷ πάχει*
ἀφιστάναι τὰς τῶν πολεμίων ἐπιβουλάς, ἀνθρώ-
πων τε ἐνόμιζεν ὀλίγων καὶ τῶν ἀχρειοτάτων
ἀρκέσειν τὴν φυλακήν, τοὺς δ' ἄλλους ἐς τὰς
7 *ναῦς ἐσβήσεσθαι. ταῖς γὰρ ναυσὶ μάλιστα προσέ-*
κειτο, ἰδών, ὡς ἐμοὶ δοκεῖ, τῆς βασιλέως στρα-
τιᾶς τὴν κατὰ θάλασσαν ἔφοδον εὐπορωτέραν
τῆς κατὰ γῆν οὖσαν· τόν τε Πειραιᾶ ὠφελιμώ-
τερον ἐνόμιζε τῆς ἄνω πόλεως, καὶ πολλάκις τοῖς
Ἀθηναίοις παρῄνει, ἢν ἄρα ποτὲ κατὰ γῆν βια-
σθῶσι, καταβάντας ἐς αὐτὸν ταῖς ναυσὶ πρὸς
8 *ἅπαντας ἀνθίστασθαι. Ἀθηναῖοι μὲν οὖν οὕτως*
ἐτειχίσθησαν καὶ τἆλλα κατεσκευάζοντο, εὐθὺς
μετὰ τὴν Μήδων ἀναχώρησιν.

Cap. XCIII. §. 5. *Μολίβδῳ* libri mss. sedecim, in quibus optimi. Quibus testibus plus quam grammaticorum nonnullorum praeceptis tribuendum existimavimus, ex quibus vulgo et apud Bekk. *μολύβδῳ*. Cf. Piers. ad Moer. p. 257. interpr. Xen. Anab. III, 3, 17. Lehm. ad Luci. Char. p. 447. Iacob. ad Luci. Alex. c. 25. al.

p. 3. — *αὐτοφυεῖς*. De flexione vocis vid. Buttm. Gr. max. §. 53. 2. adn. 1. — *καὶ αὐτοὺς ... δύναμιν*. Haec aut valent et ipsos nauticos factos magnopere profecturos in acquirenda potentia, aut et (illum locum) eos nauticos factos valde promoturum esse ad potentiam consequendam. De praesentis infinitivo idem adnotandum, quod de aor. 81, 6. Cf. I, 127. IV, 127. al.

§. 4. *Εὐθύς*] „*ἅμα τῷ συμβουλεῦσαι*.“ Schol. Goeller vult esse statim postquam Archon factus est. Quod falsum esse ex iis, quae ad *ἐτελέσθη* §. 5. adnotata sunt, apparet.

§. 5. *Καὶ ᾠκοδόμησαν*. Lacedaemonios in hac exstructione a Themistocle denuo deceptos esse narrans Diodorus iure exploditur a Thirwall. Hist. Gr. II. p. 508. sqq. — *ὅπερ ... δῆλόν ἐστι*. „E fundamentis murorum a Lacedaemoniis dirutorum necdum a Conone restitutorum.“ KRUEG. ad Dion. p. 250. Cf. id. Vit. Thuc. p. 72. sq. — *ἅμαξαι ἐναντίαι ἀλλήλαις*, plaustra ex adverso alterum alteri obvia s. occurrentia. Cf. Aristoph. Av. v. 1126. sqq. et Procop. Gaz. Paneg. c. 21. Similiter de navibus dictum IV, 23. — *χάλιξ*, caementum, h. e. lapilli, quibus farciuntur seu implentur saxorum intervalla. — *πηλός*, lutum, vel, si mavis, mortarium inde factum, quo lapilli continentur. Cf. IV, 4. — *ξυνῳκοδομημένοι ... λίθοι*. Ut in muris Cyclopiis, qui dicuntur. — *ἐν τομῇ ἐγγώνιοι*, „intelligo locis, quibus incisi erant, angulati, an den behauenen Ecken winkelrecht. Ita h. l. conveniet cum II, 76. *ἀπὸ τῆς τομῆς*, quem locum Arn. aptissime contulit.“ GOELL. — *σιδήρῳ ... δεδεμένοι*. *Σίδηρος* retinacula ferrea significat. Sententiam esse hanc, indem die eisernen Klammern mit Blei eingegossen waren, scribit Iacobs. in Attic. Verbis durch eiserne Klammern und geschmolzenes Blei verbunden usus est Thirwallii interpres Hist. Gr. II. p. 378. — *ἐτελέσθη*. Thirwallius l. d. et p. 511. huic tempori plusquamperfecti notionem dat ad tempus verbo *ὑπῆρκτο* indicatum respici opinatus. At id ideo fieri non potest, quia supra verba *ὑπῆρκτο* - *ἦρξε* sunt interposita, et iam a *νομίζων* scriptor rediit ad tempus verbi *ἔπεισε*, sive ad Ol. LXXV, $\frac{2}{3}$. (*εὐθὺς μετὰ τὴν Μήδων ἀναχώρησιν* §. 8.). Praeterea si muri iam ante adventum Persarum ad dimidiam altitudinem perducti essent, futurum fuisse, ut ab his diruerentur, verisimile est. — *οὗ διενοεῖτο*, i. e. *ἐκείνου, ὃ (τελεῖν) διεν.*

§. 6. *Ἀφιστάναι*, i. e. *ἀποτρέπειν, ἀμύνειν*. — *τὰς τῶν πολεμίων ἐπιβουλάς*, insidias ab hostibus structas (Atheniensibus). Cf. Procop. Pers. II. p. 177. *ἀρκέσειν τὸν περίβολον ταῖς τῶν πολεμίων ἐπιβουλαῖς*, ubi vid. Dind. — *τῶν ἀχρειοτάτων*] „*οἷον γερόντων καὶ παίδων*.“ Schol. *Τοὺς πρεσβυτάτους καὶ τοὺς νεωτάτους* II, 13. comparat Thirw. l. d. Sunt enim *ἀχρεῖοι* omnes inhabiles militiae, turba inutilis. Cf. II, 6. 44. 78.

§. 7. *Ταῖς ... ναυσὶ ... προσέκειτο*, in rem nauticam incumbebat. — *τῆς ἄνω πόλεως*. Nomine superioris urbis seu a mari distantis hic et II, 48. distinguuntur Athenae a Piraeo, ut IV, 66. Megara a Nisaea. Cf. Duk. ad IV, 54. et III, 34.

§. 8. *Ἀθηναῖοι ... ἐτειχίσθησαν*. Male Port.: Athenienses ... urbem muris cinxerunt. Immo muris cincti sunt, muros acceperunt (arte et opera Themistoclis). — *κατεσκευάζοντο*, instruebant, constituebant. De aedificiis restitutis secundum Scholiast. maxime cogitari iubet Bloomf., praesertim quum *κατασκευάζεσθαι* et *κατασκευή* etiam nude de habitatione et domibus (vid. I, 10. II, 17.) dicantur. Respicitur tamen simul ad *κατασκευάς*, seu apparatum domesticum restitutum. Cf. II, 16. extr. et dicendi genus *κατασκευάζειν χώραν* VI, 91. VIII, 24.

στρατεία Παυσανίου ἐς Κύπρον καὶ Βυζάντιον.

94. *Παυσανίας δὲ ὁ Κλεομβρότου ἐκ Λακε-* 1
δαίμονος στρατηγὸς τῶν Ἑλλήνων ἐξεπέμφθη
μετὰ εἴκοσι νεῶν ἀπὸ Πελοποννήσου· ξυνέπλεον
δὲ καὶ Ἀθηναῖοι τριάκοντα ναυσὶ καὶ τῶν ἄλ-
λων ξυμμάχων πλῆθος. καὶ ἐστράτευσαν ἐς Κύ- 2
προν, καὶ αὐτῆς τὰ πολλὰ κατεστρέψαντο, καὶ
ὕστερον ἐς Βυζάντιον, Μήδων ἐχόντων, καὶ ἐξε-
πολιόρκησαν ἐν τῇδε τῇ ἡγεμονίᾳ.

οἱ ξύμμαχοι πρὸς τοὺς Ἀθηναίους μετατάσσονται οὐκ ἐμποδὼν γιγνομένων τῶν Λακεδαιμονίων, οἳ Παυσανίαν μετεπέμψαντο.

95. *Ἤδη δὲ βιαίου ὄντος αὐτοῦ οἵ τε ἄλλοι* 1
Ἕλληνες ἤχθοντο καὶ οὐχ ἥκιστα οἱ Ἴωνες καὶ
ὅσοι ἀπὸ βασιλέως νεωστὶ ἠλευθέρωντο· φοι-
τῶντές τε πρὸς τοὺς Ἀθηναίους ἠξίουν αὐτοὺς
ἡγεμόνας σφῶν γενέσθαι κατὰ τὸ ξυγγενές, καὶ
Παυσανίᾳ μὴ ἐπιτρέπειν, ἤν που βιάζηται. οἱ δὲ 2
Ἀθηναῖοι ἐδέξαντό τε τοὺς λόγους καὶ προσεῖχον
τὴν γνώμην ὡς οὐ περιοψόμενοι τἆλλά τε κατα-
στησόμενοι, ᾗ φαίνοιτο ἄριστα αὐτοῖς. ἐν τούτῳ 3
δὲ οἱ Λακεδαιμόνιοι μετεπέμποντο Παυσανίαν
ἀνακρινοῦντες ὧν πέρι ἐπυνθάνοντο· καὶ γὰρ ἀδι-
κία πολλὴ κατηγορεῖτο αὐτοῦ ὑπὸ τῶν Ἑλλήνων τῶν

Cap. XCIV. §. 2. *Ἐν τῇδε τῇ ἡγεμονίᾳ.* Ab his novum caput deleta post *ἤδη* particula *δέ*, quae a Reg. abest, incipiendum

Cap. XCIV. §. 1. *Παυσανίας δέ.* Redit Thucydides ad narrationis seriem inde a 89, 3. interruptam. De Pausaniae expeditione cf. infra c. 128. Diod. XI, 44. (qui pro XX. navibus Peloponnesiacis L habet) Plut. Cim. c. 6. Nep. Paus. 2. Factam eam esse non Ol. LXXVII, 3. a. Chr. 470., quem annum posuerat Dodw., sed Ol. LXXV, ¾ a. Chr. 47⁸⁄₇ secundum Diodorum praeter alias censent Clinto, Wachsm. Ant. Gr. II. p. 476. Krueg. Stud. histor. p. 37. sq. Et a Dodw. et a Clint. dissentit Muell. Dor. II. p. 498. Add. Mans. Spart. I. 2. p. 322. sqq. De dignitate Pausaniae vid. 132, 1. — *Κλεομβρότου.* De hoc vid. Herod. VIII, 71. IX, 10.

§. 2. *Ἐς Κύπρον.* Cur hanc potissimum Graeci tunc adorti sint, examinat Beckel in Museo Rhen. et Westphal. lud. magistr. I. p. 123. sqq.

Cap. XCV. §. 1 *Βιαίου ὄντος αὐτοῦ.* Cf. c. 130. Plut. Arist. c. 23. et quos ad 94, 1. nominavimus. — *καὶ ὅσοι.* Velut *οἱ ἀπὸ Ἑλλησπόντου ξύμμαχοι* 89, 2. *Νεωστί* est post pugnas ad Plataeas et Mycalen factas. Vid. ibid. et Herodot. IX, 104. — *κατὰ τὸ ξυγγενές.* Cf. adn. 6, 3. et de re 2, 6. extr.

§. 2. *Αὐτοῖς*, i. e. sociis.

§. 3. *Ἀδικία ... κατηγορεῖτο αὐτοῦ.* Cf. infra §. 5. Matth. Gr. §. 378. et Arn. Passive quidem *ἀδικίαν κατηγορεῖτο*

ἀφικνουμένων, καὶ τυραννίδος μᾶλλον ἐφαίνετο μί-
4 *μησις ἡ στρατηγία. ξυνέβη τε αὐτῷ καλεῖσθαί τε*
ἅμα καὶ τοὺς ξυμμάχους τῷ ἐκείνου ἔχθει παρ'
Ἀθηναίους μετατάξασθαι πλὴν τῶν ἀπὸ Πελο-
5 *ποννήσου στρατιωτῶν. ἐλθὼν δὲ ἐς Λακεδαίμονα*
τῶν μὲν ἰδίᾳ πρός τινα ἀδικημάτων εὐθύνθη,
τὰ δὲ μέγιστα ἀπολύεται μὴ ἀδικεῖν· κατηγο-
ρεῖτο δὲ αὐτοῦ οὐχ ἥκιστα μηδισμός, καὶ ἐδόκει
6 *σαφέστατον εἶναι. καὶ ἐκεῖνον μὲν οὐκέτι ἐκπέμ-*
πουσιν ἄρχοντα, Δόρκιν δὲ καὶ ἄλλους τινὰς
μετ' αὐτοῦ στρατιὰν ἔχοντας οὐ πολλήν· οἷς οὐ-
7 *κέτι ἐφίεσαν οἱ ξύμμαχοι τὴν ἡγεμονίαν. οἱ δὲ*
αἰσθόμενοι ἀπῆλθον· καὶ ἄλλους οὐκέτι ὕστερον

putant Steph. et Duk., quibus praeter alios Haack. Dobr. Krueg. parendum censuerunt.

Cap. XCV. §. 3. *Ἡ στρατηγία* Pal. secundum Morst. „Confirmatur imitatione Choricii Fun. Orat. ap. Fabric. Bibl. Gr. VIII, 876. ubi de Paus. „*τυραννίδος μίμησις ἦν ἡ στρατηγία.*“ BLOOMF. Vulgo et Bekk. *ἢ στρατηγία.* Sed subiectum, quod dicitur, hic minus facile quam res comparata omitti potest.

dicendum videatur ob eum usum, de quo explicat Matth. Gr. §. 490. p. 1090., et ob exempla verborum *καταγιγνώσκεσθαι, καταδικάζεσθαι, κατακρίνεσθαι* sic positorum collecta a Lob. ad Soph. Ai. v. 351. sq.; sed similiter *σφῶν καταδεδικάσθαι* legimus V, 49. et *τὴν ἤδη κατεψηφισμένην σφῶν* II, 53. Cf. Procop. B. G. IV, 30. — *τυραννίδος ... ἡ στρατηγία.* imperium (quod supra c. 94. appellavi) magis videbatur tyrannidis imitatio (quam imperium). Cf. sd.

§. 4. *Παρ' Ἀθηναίους μετατάξασθαι*, i. e. *μεταστῆναι* c. 130. De anno eadem, quae ad 94, 1., adnotanda, nisi quod Mueller hic ad Dodwelli partes transiit, et a Clintone (Append. VI. p. 248. sqq.) eiusque sociis annus Ol. LXXV, 4. a. Chr. 477. distinctius designatur. In a. 475. rem referri a Kleinertio de Init. imper. Artax. adnotatum legimus.

§. 5. *Τῶν ἰδίᾳ ... ἀδικημάτων.* Similiter I, 68. *τῶν αὐτοῖς ἰδίᾳ διαφόρων* et c. 141. *τῷ αὐτῷ ὑπὸ ἁπάντων ἰδίᾳ δοξάσματι.* — *εὐθύνθη*] „*εὐθύνας δέδωκε καὶ κατεδικάσθη.*“ Schol. Cf. Nep. — *Τὰ δὲ μέγιστα* iunge cum *ἀδικεῖν.* — *Ἀπολύεται μὴ ἀδικεῖν.* De *μή* vid. Matth. Gr. §. 534. adn. 7. Cf. infra 128, 3. et Cic. pro Milone 18, 47. liberatur Milo non eo consilio profectus esse, ut insidiaretur. — *μηδισμός.* Cf. c. 128. sqq. — *σαφέστατον εἶναι.* Nihilominus eum non puniverunt ob causas c. 132. explicatas.

§. 6. *Οὐκέτι ἐκπέμπουσιν.* Ultro tamen rediit. Vid. 128, 3. — *ἐφίεσαν*] „*παρεχώρουν.*“ Schol.

ἐξέπεμψαν οἱ Λακεδαιμόνιοι, φοβούμενοι, μὴ σφί-
σιν οἱ ἐξιόντες χείρους γίγνωνται, ὅπερ καὶ ἐν
τῷ Παυσανίᾳ ἐνεῖδον, ἀπαλλαξείοντες δὲ καὶ τοῦ
Μηδικοῦ πολέμου, καὶ τοὺς Ἀθηναίους νομίζοντες
ἱκανοὺς ἐξηγεῖσθαι καὶ σφίσιν ἐν τῷ τότε πα-
ρόντι ἐπιτηδείους.

οἱ δὲ Ἀθηναῖοι τὰ τῶν ξυμμάχων τάσσουσι.

96. Παραλαβόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἡγε- 1
μονίαν τούτῳ τῷ τρόπῳ ἑκόντων τῶν ξυμμά-
χων διὰ τὸ Παυσανίου μῖσος, ἔταξαν ἅς τε ἔδει
παρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβα-
ρον καὶ ἃς ναῦς. πρόσχημα γὰρ ἦν ἀμύνασθαι
ὧν ἔπαθον δῃοῦντας τὴν βασιλέως χώραν. καὶ 2
Ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίοις κατέστη
ἀρχή, οἳ ἐδέχοντο τὸν φόρον. οὕτω γὰρ ὠνο-
μάσθη τῶν χρημάτων ἡ φορά. ἦν δ' ὁ πρῶτος
φόρος ταχθεὶς τετρακόσια τάλαντα καὶ ἑξήκοντα.
ταμιεῖόν τε Δῆλος ἦν αὐτοῖς, καὶ αἱ ξύνοδοι ἐς
τὸ ἱερὸν ἐγίγνοντο.

§. 7. Φοβούμενοι, μὴ .. χείρους γίγνωνται. Cf. Plut. Aristid. c. 23. Χείρους Bloomf. interpretatur κακούς, ut IV, 114. VI, 89. 92. Cf. Matth. Gr. §. 457. Hic χειρ. γίγν. est plane nostrum sich verschlechtern. — ἀπαλλαξείοντες. Talia desiderativa aliquot apud Thuc. leguntur. Cf. I, 33. III, 84. IV, 28. VIII, 56. 79. — ἐν τῷ τότε παρόντι. Alibi aut τότε aut παρόντι omittitur. Cf. I, 32. 132. IV, 79. et I, 92. IV, 12. sed etiam adn. 123, 1. — ἐπιτηδείους. Cf. adn. 60, 2.

Cap. XCVI. §. 1. Διὰ τὸ Παυσανίου μῖσος. Et Aristidis aequitatem. Cf. Plut. Arist. c. 23. Nep. Arist. c. 2. — ἔταξαν. De re cf. Herm. Antiqu. Gr. §. 157, 1. — πρόσχημα] „πρόφασις.“ Schol. — ἀμύνασθαι ὧν ἔπαθον. Cf. Matth. Gr. §. 368. — δῃοῦντας. Accusativus refertur ad αὐτούς, accusativum subiecti apud ἀμύνασθαι cogitandum.

Cap. LXI. §. 1. *Ἐχεκρατίδου.* De hoc et eius gente cf. Boeckh. Explicat. Pind. p. 332. sq. et Wachsm. Antiqu. Gr. I. 2. p. 107. — *βασιλέως.* Quum non uni regi paruerit Thessalia (cf. IV, 78.), fortasse *ταγός* intelligendus. Cf. Schoem. Antiqu. iur. publ. Graec. p. 402. Attamen „etiam Herodotus VII, 6. [sicut Pind.] Aleuades reges Thessaliae dicit.“ HAACK. — *ὄντας ξυμμάχους.* Cf. 108, 3. — *ἐστράτευσαν.* Cf. Diod. XI, 83. et Aristid. I. p. 386. Hanc expeditionem in Ol. LXXX, 4. a. Chr. 457. refert Diod., in annum sequentem Dodw. et Manso, in Ol. LXXXI, 2. a. Chr. 455. Clinto, Wachsm. Krueg., in a. 454. Rospatt. — *τῆς Θεσσαλίας ἐπὶ Φάρσαλον.* Cf. Matth. Gr. §. 321. 6. infra §. 3. 114, 2. — *ὅσα μὴ προϊόντες*, i. e. *ὅσα κρατεῖν ἐδύναντο μὴ προ.* Cf. IV, 16. et Held. ad Plut. Timol. c. 3. p. 323. — *ἐκ τῶν ὅπλων*, a castris. Cf. III, 1. VI, 64.

§. 2. *Μετὰ δὲ ταῦτα.* In Ol. LXXXI, 1. a. Chr. 456. haec quoque refert Manso, in Ol. LXXXI, 3. a. Chr. 454. Clinto, Wachsm. al., in a. 453. Rospatt. Expeditionem, quae sequitur, illustrant Diod. XI, 88. et Plut. Pericl. c. 19. Miscet complura Iust. III, 6, 12. 13. — *τὰς ναῦς.* C triremes commemorat Plut. L Diod. — *εἶχον ... τὰς Πηγάς.* Vid. 103, 4. — *τοὺς προςμίξαντας.* Valet

3 ωνίων τοὺς προςμίξαντας μάχῃ ἐκράτησαν. καὶ εὐθὺς παραλαβόντες Ἀχαιούς, καὶ διαπλεύσαντες πέραν, τῆς Ἀκαρνανίας ἐς Οἰνιάδας ἐστράτευσαν καὶ ἐπολιόρκουν· οὐ μέντοι εἷλόν γε, ἀλλ' ἀπεχώρησαν ἐπ' οἴκου.

σπονδαὶ πενταετεῖς Ἀθηναίων καὶ Πελοποννησίων. στρατεία ἐς Κύπρον καὶ Αἴγυπτον. ὁ ἱερὸς καλούμενος πόλεμος.

1 **112.** Ὕστερον δέ, διαλιπόντων ἐτῶν τριῶν,
σπονδαὶ γίγνονται Πελοποννησίοις καὶ Ἀθη-
2 ναίοις πενταετεῖς. καὶ Ἑλληνικοῦ μὲν πολέμου ἔσχον οἱ Ἀθηναῖοι, ἐς δὲ Κύπρον ἐστρατεύοντο ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμ-
3 μάχων Κίμωνος στρατηγοῦντος. καὶ ἑξήκοντα μὲν νῆες ἐς Αἴγυπτον ἀπ' αὐτῶν ἔπλευσαν, Ἀμυρταίου μεταπέμποντος, τοῦ ἐν τοῖς ἕλεσι βασιλέως,

Cap. CXII. §. 1. *Πενταετεῖς.* Pal. *πενταέτεις.* „*Ἰστέον δὲ ὅτι τὰ παρὰ τὸ ἔτος παρ' ἡμῖν ὀξύτονα οἱ Ἀττικοὶ βαρύνουσιν.*“ Etym. M. in *τριακοντούτης.* At V, 14. *τριακονταετεῖς* et V, 26. *δεκαετεῖ*, quanquam utroque loco Vat. *τριακονταέτεις* et *δεκαέτει.* *Πεντέτεις* malunt Atticistae quidam. Cf. Lob. ad Phryn. p. 407.

§. 2. *Αὐτῶν* Bekk. Vulgo. *αὑτῶν.* Cf. adn. c. 17.

saepius manus conserere, ut II, 39. IV, 85. 126. — *μάχῃ ἐκράτησαν.* Apud Nemeam secundum Plut. Alia nonnulla addit Diod.

§. 3. *Παραλαβόντες, εἰς τὴν στρατείαν δηλονότι, συμμάχους ὄντας.* Cf. §. 1. V, 52. VII, 57. — *διαπλεύσαντες πέραν.* Illustrat Plutarchus verbis *ἐπὶ τὴν ἀντιπέρας ἤπειρον κομισθῆναι τῷ στόλῳ.* — *Οἰνιάδας.* De situ Oeniadarum vid. II, 102. Polyb. IV, 65. Krus. Hell. II. p. 347. Leak. Graec. sept. III. p. 556. Est autem haec una ex iis civitatibus, quae semper incolarum nominibus significantur. Cf. II, 102. III, 94. IV, 77. Idem fieri in Leontinis satis constat. De aliis nonnullis vid. Lob. Paral. Gr. I. p. 304. Apud Thuc. praeterea huc pertinent Cranii II, 30. V, 35. 56, aliae Corcyrae civitates II, 30, *Λίνδιοι* VI, 4. Distinguenda ab his nomina, qualia sunt Veii et Gabii, semper urbes designantia. Ceterum cf. etiam adn. 107, 3.

Cap. CXII. §. 1. *Διαλιπόντων*, interiectis. Cf. III, 74. — *σπονδαὶ γίγνονται.* In Ol. LXXXI, 3. referunt Diod. XI, 86. et Manso, in Ol. LXXXII, 2. Mueller et Krueg., in Ol. LXXXII, 3. a. Chr. 450. Clinto et Wachsm. Complures res confundunt Andoc. de Pac. §. 3. et Aeschin. *Παραπρ.* §. 172. Cf. Clint. Fast. Hell. p. 257. et Krueg. de Pace cum Laced. post Andoc. Bekk.

§. 2. *Ἔσχον.* Cf. Matth. Gr. §. 353. 3. et Elmsl. ad Eur. Heracl. v. 924. — *ἐς δὲ Κύπρον ἐστρατ.* Cf. Diod. XII, 3. Plut. Cim. c. 18. Isocr. de Pac. §. 86. al. in ed. mai. d. — *Κίμωνος.* Hic ex exsilio revocatus erat. Cf. Thirwall. Hist. Gr. II. p. 438. sq.

§. 3. *Ἀμυρταίου.* Cf. 110, 2. — *μεταπέμποντος.* Activo huius verbi utitur Thuc. IV, 30. VI, 52. 71. 88. (ubi vid. Duk.)

αἱ δὲ ἄλλαι Κίτιον ἐπολιόρκουν. Κίμωνος δὲ 4
ἀποθανόντος, καὶ λιμοῦ γενομένου, ἀπεχώρησαν
ἀπὸ Κιτίου· καὶ πλεύσαντες ὑπὲρ Σαλαμῖνος τῆς
ἐν Κύπρῳ Φοίνιξι καὶ Κίλιξιν ἐναυμάχησαν καὶ
ἐπεζομάχησαν ἅμα, καὶ νικήσαντες ἀμφότερα
ἀπεχώρησαν ἐπ' οἴκου, καὶ αἱ ἐξ Αἰγύπτου νῆες
πάλιν αἱ ἐλθοῦσαι μετ' αὐτῶν. Λακεδαιμόνιοι δὲ 5
μετὰ ταῦτα τὸν ἱερὸν καλούμενον πόλεμον ἐστρά-
τευσαν, καὶ κρατήσαντες τοῦ ἐν Δελφοῖς ἱεροῦ
παρέδοσαν Δελφοῖς· καὶ αὖθις ὕστερον Ἀθηναῖοι
ἀποχωρούντων αὐτῶν στρατεύσαντες καὶ κρα-
τήσαντες παρέδοσαν Φωκεῦσι.

Ἀθηναίων ἧσσα ἐν Κορωνείᾳ.

113. *Καὶ χρόνου ἐγγενομένου μετὰ ταῦτα*

alibi. Cf. adn. 13, 2. — *Κίτιον*] „*Κίτιον πόλις Κύπρου, ὅθεν ἦν Ζήνων ὁ Κιτιεύς, ὁ φιλόσοφος.*" Schol. Cf. Strab. XIV. p. 682. Literam *τ* duplicari non posse docent interpretes Cic. Tusc. V, 12. et Dindorfius in Steph. Thes.

§. 4. *Κίμωνος ... ἀποθανόντος.* Ol. LXXXII, 4. a. Chr. 449. (Aliter tamen Mans. Spart. I. 2. p. 335.) De morte Plut. l. d. *ἀπέθανε δέ*, inquit, *ὡς οἱ πλεῖστοι λέγουσι, νοσήσας, ἔνιοι δέ φασιν ἐκ τραύματος.* Multa miscet et fingit Diod. l. d. Cf. Haack. et Lorentzen. de Rebus Atheniensium Pericle duce gestis p. 33. — *ὑπὲρ Σαλαμῖνος.* Ὑπὲρ verbis *μετέωρον* et *ἀνάγεσθαι* respondere docet Arn. comparans *ἀποσαλεύσας ὑπὲρ τοῦ στρατοπέδου* I, 137. et *ναυμαχήσαντες ὑπὲρ τοῦ λιμένος* VIII, 95. De Salamine vid. Strab. l. §. 3. d. et Mannert. Geogr. VI. 1. p. 443. — *ἀμφότερα.* Cf. adn. 13, 5. — *αἱ ἐξ Αἰγύπτου.* De *ἐκ* vid. adn. 8, 2. — *πάλιν.* Suppl. *ἀπεχώρησαν*, ut dicitur *ἀναχωρεῖν πάλιν* II, 5, 21. *ἀπῆλθον πάλιν* IV, 72. Noli igitur audire Haasium Lucubr. Thuc. p. 55. sq.

§. 5. *Λακεδαιμόνιοι δέ* cet. Cf. Plut. Pericl. c. 21. Schol. Aristoph. Av. 1. 557. Clint. l. d. p. 258. Hanc expeditionem factam esse Ol. LXXXIII, 1. a. Chr. 448. existimat Dodw., Ol. LXXXII, 4. Muell. Wachsm. Krueg. — *τὸν ἱερὸν ... πόλεμον ἐστράτευσαν.* Similiter Appi. VIII, 2. Militabitur bellum Hor. Epod. 1, 23. Compara *τὰς πύστεις ἐρωτᾶν* I, 5, *αὐτάρκη θέσιν κεῖσθαι* I, 37. Matth. Gr. §. 408. Rost. §. 104. 3. b. Lob. ad Soph. Ai. 1. 290. — *παρέδοσαν Δελφοῖς.* Etenim *ἀπέστησαν Δελφοὺς ἀπὸ τοῦ κοινοῦ συστήματος τῶν Φωκέων Λακεδαιμόνιοι, καὶ ἐπέτρεψαν καθ' αὑτοὺς πολιτεύεσθαι.* Strab. IX. p. 423. extr. — *παρέδοσαν Φωκεῦσι.* Sed postea Delphi recuperaverunt. Cf. 118, 3. 121, 2. V, 18.

Cap. CXIII. §. 1. *Χρόνου ἐγγενομένου* (interiecto, cf. IV, 111. VIII, 9.) *μετὰ ταῦτα.* „I. e. *μετὰ ταῦτα, χρόνου ἐγγεν.* Cf. c. 114. init. 118. init." IACOBS. Pugnam, quae in

Ἀθηναῖοι, Βοιωτῶν τῶν φευγόντων ἐχόντων Ὀρ-
χομενὸν καὶ Χαιρώνειαν καὶ ἄλλ' ἄττα χωρία
τῆς Βοιωτίας, ἐστράτευσαν ἑαυτῶν μὲν χιλίοις
ὁπλίταις, τῶν δὲ ξυμμάχων ὡς ἑκάστοις ἐπὶ τὰ
χωρία ταῦτα πολέμια ὄντα, Τολμίδου τοῦ Τολ-
μαίου στρατηγοῦντος· καὶ Χαιρώνειαν ἑλόντες
2 *ἀπεχώρουν φυλακὴν καταστήσαντες. πορευομένοις*
δὲ αὐτοῖς ἐν Κορωνείᾳ ἐπιτίθενται οἵ τε ἐκ τῆς
Ὀρχομενοῦ φυγάδες Βοιωτῶν, καὶ Λοκροὶ μετ'
αὐτῶν, καὶ Εὐβοέων φυγάδες, καὶ ὅσοι τῆς αὐ-
τῆς γνώμης ἦσαν· καὶ μάχῃ κρατήσαντες τοὺς
μὲν διέφθειραν τῶν Ἀθηναίων, τοὺς δὲ ζῶντας
3 *ἔλαβον. καὶ τὴν Βοιωτίαν ἐξέλιπον Ἀθηναῖοι*
πᾶσαν σπονδὰς ποιησάμενοι, ἐφ' ᾧ τοὺς ἄνδρας
4 *κομιοῦνται. καὶ οἱ φεύγοντες Βοιωτῶν κατελ-*
θόντες καὶ οἱ ἄλλοι πάντες αὐτόνομοι πάλιν
ἐγένοντο.

Εὐβοίας καὶ Μεγάρων ἀπόστασις. Πλειστοάνα-

1 **114.** *Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον Εὔ-*
βοια ἀπέστη ἀπὸ Ἀθηναίων· καὶ ἐς αὐτὴν δια-
βεβηκότος ἤδη Περικλέους στρατιᾷ Ἀθηναίων, ἠγ-

Cap. CXIII. §. 1. *Ἑλόντες.* Post hoc ex optimorum librorum auctoritate deleta sunt verba *καὶ ἀνδραποδίσαντες.*

proximis narratur, evenisse Ol. LXXXIII, 2. a. Chr. 447. consentiunt plerique, a. 446. statuit Krueg. cui obloquitur Rospatt. — *τῶν φευγόντων.* Exsulibus post pugnam Oenophytensem expulsis. — *ἐστράτευσαν.* Cf. Diod. XII, 6. et Plut. Pericl. c. 18. — *ὡς ἑκάστοις.* Cf. adn. 3, 4.

§. 2. *Ἐν Κορωνείᾳ.* *Ἐν Ἁλιαρτίᾳ* Paus. I, 27, 6, *ἐν Λεβαδείᾳ* Xen. Mem. III, 5, 4, sed cum Thuc. conspirant Isocr. *περὶ ζεύγους* §. 28. Plat. Alcib. I. c. 18. Diod. Plut. Cf. Muell. Orchom. p. 417. — *Λοκροί*] „*οἱ Ὀπούντιοι Λοκροί.*" Schol. Cf. 108, 3. — *τῆς αὐτῆς γνώμης ἦσαν.* Cf. Matth. Gr. §. 316. e. — *τοὺς μὲν διέφθειραν.* Inter quos ipsum Tolmidam. Vid. Diod. et Plut.

§. 3. *Ἐφ' ᾧ.* Cf. adn. 103, 1.

§. 4. *Οἱ ἄλλοι πάντες.* Locri et fortasse Euboeenses exsules, (quanquam de his *αὐτόνομοι ἐγένοντο* ob c. 114. init. minus apte dicatur,) praeter quos etiam Phocenses intelligit Arn.; nam Phocidem prius (c. 108.) ab Atheniensibus captam iisque foederatam (112, 5.) initio belli Pelop. Lacedaemoniis esse sociam II, 9.

Cap. CXIV. §. 1. *Μετὰ δὲ ταῦτα.* Ol. LXXXIII, 3. a. Chr. 446. — *Εὔβοια ἀπέστη.* Cf. Diod. XII, 7. Plut. Pericl. c. 22. sq. — *διαβεβηκότος ἤδη Περικλέους ... ἠγγέλθη αὐτῷ.* Cf. Matth. Gr.

κτος ἐςβολὴ ἐς τὴν Ἀττικήν. Εὔβοια ὑποχείριος γίγνεται.

γέλθη αὐτῷ, ὅτι Μέγαρα ἀφέστηκε, καὶ Πελοπον-
νήσιοι μέλλουσιν ἐςβαλεῖν ἐς τὴν Ἀττικήν, καὶ
οἱ φρουροὶ Ἀθηναίων διεφθαρμένοι εἰσὶν ὑπὸ
Μεγαρέων, πλὴν ὅσοι ἐς Νίσαιαν ἀπέφυγον·
(ἐπαγαγόμενοι δὲ Κορινθίους καὶ Σικυωνίους καὶ
Ἐπιδαυρίους ἀπέστησαν οἱ Μεγαρῆς·) ὁ δὲ Πε-
ρικλῆς πάλιν κατὰ τάχος ἐκόμιζε τὴν στρατιὰν
ἐκ τῆς Εὐβοίας. καὶ μετὰ τοῦτο οἱ Πελοποννή- 2
σιοι τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα καὶ Θριῶζε ἐςβα-
λόντες ἐδῄωσαν, Πλειστοάνακτος τοῦ Παυσανίου,
βασιλέως Λακεδαιμονίων, ἡγουμένου, καὶ τὸ
πλέον οὐκέτι προελθόντες ἀπεχώρησαν ἐπ' οἴκου.
καὶ Ἀθηναῖοι πάλιν ἐς Εὔβοιαν διαβάντες, Πε- 3
ρικλέους στρατηγοῦντος, κατεστρέψαντο πᾶσαν. καὶ
τὴν μὲν ἄλλην ὁμολογίᾳ κατεστήσαντο, Ἑστιαιᾶς
δὲ ἐξοικίσαντες αὐτοὶ τὴν γῆν ἔσχον.

σπονδαὶ τριακοντούτεις. πόλεμος Σαμίων καὶ Μιλησίων. στάσεις Σαμίων.

115. Ἀναχωρήσαντες δὲ ἀπὸ Εὐβοίας οὐ 1
πολλῷ ὕστερον σπονδὰς ἐποιήσαντο πρὸς Λακε-
δαιμονίους καὶ τοὺς ξυμμάχους τριακοντούτεις,
ἀποδόντες Νίσαιαν καὶ Πηγὰς καὶ Τροιζῆνα καὶ
Ἀχαΐαν· ταῦτα γὰρ εἶχον Ἀθηναῖοι Πελοποννη-
2 σίων. ἕκτῳ δὲ ἔτει Σαμίοις καὶ Μιλησίοις πό-
λεμος ἐγένετο περὶ Πριήνης· καὶ οἱ Μιλήσιοι
ἐλασσούμενοι τῷ πολέμῳ παρ' Ἀθηναίους ἐλθόν-
τες κατεβόων τῶν Σαμίων. ξυνεπελαμβάνοντο
δὲ καὶ ἐξ αὐτῆς τῆς Σάμου ἄνδρες ἰδιῶται νεω-
3 τερίσαι βουλόμενοι τὴν πολιτείαν. πλεύσαντες
οὖν Ἀθηναῖοι ἐς Σάμον ναυσὶ τεσσαράκοντα δη-
μοκρατίαν κατέστησαν, καὶ ὁμήρους ἔλαβον τῶν
Σαμίων πεντήκοντα μὲν παῖδας, ἴσους δὲ ἄνδρας,
καὶ κατέθεντο ἐς Λῆμνον, καὶ φρουρὰν ἐγκαταλι-
4 πόντες ἀνεχώρησαν. τῶν δὲ Σαμίων ἦσαν γὰρ

Cap. CXIV. §. 2. Θριῶζε Steph. Byz. Aug. et a rec. man. Pal., quod probant Goettl. Doctr. accent. p. 359. et Dind. in Steph. Thes. Ita iterum Aug. II, 21. Vulgo et Bekk. Θρίωζε, ut apud Hesych. §. 561. Rost. §. 131. adn. 2. — Νίσαιαν. Cf. 103, 4.

§. 2. Θριῶζε] „εἰς τὸ Θριάσιον πεδίον· [II, 19. sqq.] ὡς Ἀθήναζε.“ Schol. Cf. sd. Leak. de Pag. Att. p. 105. Krus. Hell. II. 1. pag. 178. sqq. — Πλειστοάνακτος ... βασιλέως. Cf. adn. 107, 2. — τὸ πλέον. II, 21. ἐς τὸ πλεῖον. — ἀπεχώρησαν. De causa rei credita vid. II, 21. V, 16. Plut. l. d.

§. 3. Κατεστρέψαντο. Cf. Schol. Arist. Nub. v. 213. — ὁμολογίᾳ κατεστήσαντο, pactione constituerunt, composuerunt; nam utrumque verbum Latinum sic dici docent Brem. ad Nep. Milt. 2. et interpr. Tac. Ann. XII, 40. Καθίστασθαι similiter legitur III, 35. Contra ὁμολογίᾳ παρίστασθαι I. 29. ubi vid. adn. — Ἑστιαιᾶς ... ἐξοικίσαντες. Praeter Diod. et Plut. cf. Dion. Hal. p. 845. sq. — αὐτοὶ ... ἔσχον. Id proximo anno factum esse testatur Diod. XII, 22. Hi novi incolae VII, 57. Ἑστιαιῆς οἱ ἐν Εὐβοίᾳ Ἑστίαιαν οἰκοῦντες, ἄποικοι ὄντες (Atheniensium) appellantur. Ab aliis Ὠρεῖται vocantur; nam Ἑστίαια, inquit Schol., νῦν Ὠρεός καλεῖται. Cf. VIII, 95. Strab. p. 445. Paus. VII, 26, 2. Steph. Byz. in Ἱστίαια, sed etiam Schneid. ad Xen. Hell. V, 4, 56.

Cap. CV. §. 1. Οὐ πολλῷ ὕστερον. „E Paus. [V. 23, 3. atque Diod. XII, 7.] apparet accidisse hanc rem Ol. LXXXIII, 3. [a. Chr. 445.]“ GOTTL. De mense cf. Seidl. Praef. Soph. Antig. ed. Herm. p. LXIV. sqq. — et Wex. Prolegom. ad Soph. Ant. p. 9. sqq. — σπονδὰς ἐποιήσαντο. Cf. Andoc. de Pac. §. 6. Aeschin. Παραπρ. c. 51. Plut. Pericl. c. 24. — ἀποδόντες ... Ἀχαΐαν. Cf. IV, 21. et Aristid. I. p. 157. et saepius, vid. ed. mai. Achaia sitne provincia an urbs aliqua, dubitatur. Provinciam Peloponnesi esse credidit Aristid., id quod verbis 111, 3. tuetur Haack. Contrarium ex IV, 21. demonstrare studet Goell. „Cf. Muell. Dor. I. p. 192, 4. Reingan. Megar. p. 102. Mans. Spart. II. p. 109. adn.“ GOELL. Dubitanter loquuntur Wachsm. Antiqu. Gr. I. 2. p. 118. et Herm. Antiqu. Gr. §. 36, 15. De Nisaea et Pegis vid. 103, 4.

§. 2. Ἕκτῳ δὲ ἔτει. Bellum Samium ortum esse Ol. LXXXIV, 4. a. Chr. 441. Timocle archonte, verum alteram Periclis expeditionem, quae proximo capite narratur, Ol. LXXXV, 1, a. Chr 440. Morychide archonte susceptam demonstrare studuit Seidler l. §. 1. d. Contra Fr. Schultz. de Vit. Soph. p. 42. sq. utramque expeditionem unius anni spatio perfectam censet. Cf. Krueg. Stud. hist. p. 208. sqq. — πόλεμος ἐγένετο. Cf. Schol. Aristoph. Vesp. v. 283. Diod. XII, 27. Plut. Pericl. c. 24. sqq. — περὶ Πριήνης] „πλησίον γὰρ ἦν τῆς Μιλήτου, καὶ ἐζήτουν αὐτὴν ἔχειν οἱ Μιλήσιοι.“ Schol. Falli videtur Thirw. Hist. Gr. II. p. 452. Cf. ad §. 4. adn. Ob agros certe prope Prienen sitos saepius certatum est. Cf. Panofk. Res Samior. p. 28. 99. — ξυνεπελαμβάνοντο] „ἐβοήθουν τοῖς Μιλησίοις.“ Schol. — νεωτερίσαι ... τὴν πολιτείαν] „δημοκρατίαν ποιήσαντες.“ Schol.“ De Samiorum rei publicae mutationibus vid. Kortuem. l. d. p. 101. sq. et Tittm. l. d. p. 434. sq.

§. 3. Πλεύσαντες οὖν Ἀθηναῖοι. De causa rei credita vid. Plut. Pericl. c. 24. sq. Harpocr. et Suid. v. Ἀσπασία, sed etiam Thirw. l. d. — ἐς Λῆμνον] „ἡ γὰρ Λῆμνος ὑπήκοος ἦν τῶν Ἀθηναίων.“ Schol. — ἐγκαταλιπόντες] ἐν τῇ Σάμῳ. Cf. Thirw. c. 453.

§. 4. Τῶν δὲ Σαμίων. Cf. Matth. Gr. §. 630. 2. h. p.

τινες οἳ οὐχ ὑπέμενον, ἀλλ' ἔφυγον ἐς τὴν ἤπειρον, ξυνθέμενοι τῶν ἐν τῇ πόλει τοῖς δυνατωτάτοις καὶ Πισσούθνῃ τῷ Ὑστάσπου ξυμμαχίαν, ὃς εἶχε Σάρδεις τότε, ἐπικούρους τε ξυλλέξαντες ἐς ἑπτακοσίους διέβησαν ὑπὸ νύκτα ἐς τὴν Σάμον. καὶ πρῶτον μὲν τῷ δήμῳ ἐπανέστησαν, καὶ ἐκράτησαν τῶν πλείστων· ἔπειτα τοὺς ὁμήρους κλέψαντες ἐκ Λήμνου τοὺς αὐτῶν ἀπέστησαν, καὶ τοὺς φρουροὺς τοὺς Ἀθηναίων καὶ τοὺς ἄρχοντας, οἳ ἦσαν παρὰ σφίσιν, ἐξέδοσαν Πισσούθνῃ, ἐπί τε Μίλητον εὐθὺς παρεσκευάζοντο στρατεύειν. ξυναπέστησαν δὲ αὐτοῖς καὶ Βυζάντιοι.

μετὰ ναυμαχίαν τὴν πρὸς Τραγίᾳ Σάμος πολιορκεῖται,

1 **116**. Ἀθηναῖοι δὲ ὡς ᾔσθοντο, πλεύσαντες ναυσὶν ἑξήκοντα ἐπὶ Σάμου ταῖς μὲν ἑκκαίδεκα τῶν νεῶν οὐκ ἐχρήσαντο· (ἔτυχον γὰρ αἱ μὲν ἐπὶ Καρίας ἐς προσκοπὴν τῶν Φοινισσῶν νεῶν οἰχόμεναι, αἱ δ' ἐπὶ Χίου καὶ Λέσβου περιαγγέλλουσαι βοηθεῖν·) τεσσαράκοντα δὲ ναυσὶ καὶ τέσσαρσι, Περικλέους δεκάτου αὐτοῦ στρατηγοῦντος, ἐναυμάχησαν πρὸς Τραγίᾳ τῇ νήσῳ Σαμίων ναυσὶν

Cap. CXV. §. 5. *Κλέψαντες.* In paucis et malis libris ἐκκλέψαντες, ut apud Diod. et Plut.

Τοὺς αὐτῶν. Cass. Aug. Pal. Reg. Gr. al. τοὺς αὐτῶν. Cf. adn. c. 17. et sd. 82, 1.

1523. — *τὴν ἤπειρον.* Anaea maxime, si recte coniicit Wex. l. d. p. 20. — *τοῖς δυνατωτάτοις.* Cf. Panofk. l. d. p. 83. et VIII, 21. — *τότε.* Ut quinto belli Pelop. anno. III, 31. Postea vero defecit a rege. Vid. ed. mai.

§. 5. *Τῶν πλείστων*] δημοτῶν. — *κλέψαντες.* Pissuthni rem tribuit Plut. Pericl. c. 25, sed cum Thuc. consentit Diod. Ceterum cf. Thirw. l. d. p. 454. — *παρὰ σφίσιν*, i. e. *τοῖς Σαμίοις.* Cf. adn. 20, 1.

Cap. CXVI. §. 1. *Ταῖς μὲν ἑκκαίδεκα.* „Quum ponit ταῖς μ. ἑ., quadraginta quatuor cogitatione iam deduxit, licet verbis serius hoc faciat.“ BLUM. Omnino quum totum quiddam dictum est, parti ut illo iam significatae articulum addi posse Thucydides videtur putasse. Ita paulo post αἱ εἴκοσι. Cf. Rost. Gr. §. 98. B. e. — *περιαγγέλλουσαι.* Proprium verbum est de evocandis foederatis. Cf. adn. II, 10, 1. De praesentis participio vid. Matth. Gr. §. 566. 6. — *Περικλέους δεκάτου αὐτοῦ.* Unus ex Periclis collegis fuit Sophocles poeta. Vid. ed. mai. Sex alios nominat Schol. Aristid. p. 182. — *Τραγίᾳ.* „Plut. Pericl. c. 25. [et Plin. Hist. Nat. V, 37.] Τραγίας, Strabo XIV. p. 635. vocat Τραγαίας,

ἑβδομήκοντα, ὧν ἦσαν αἱ εἴκοσι στρατιώτιδες· (ἔτυχον δὲ αἱ πᾶσαι ἀπὸ Μιλήτου πλέουσαι·)
2 καὶ ἐνίκων Ἀθηναῖοι. ὕστερον δ' αὐτοῖς ἐβοήθησαν ἐκ τῶν Ἀθηνῶν νῆες τεσσαράκοντα καὶ Χίων καὶ Λεσβίων πέντε καὶ εἴκοσι, καὶ ἀποβάντες καὶ κρατοῦντες τῷ πεζῷ ἐπολιόρκουν τρισὶ τείχεσι
3 τὴν πόλιν, καὶ ἐκ θαλάσσης ἅμα. Περικλῆς δὲ λαβὼν ἑξήκοντα ναῦς ἀπὸ τῶν ἐφορμουσῶν ᾤχετο κατὰ τάχος ἐπὶ Καύνου καὶ Καρίας, ἐσαγγελθέντων, ὅτι Φοίνισσαι νῆες ἐπ' αὐτοὺς πλέουσιν· ᾤχετο γὰρ καὶ ἐκ τῆς Σάμου πέντε ναυσὶ Στησαγόρας καὶ ἄλλοι ἐπὶ τὰς Φοινίσσας.

καὶ μετὰ δύο ἄλλας ναυμαχίας ἁλίσκεται.

1 **117**. Ἐν τούτῳ δὲ οἱ Σάμιοι ἐξαπιναίως ἔκπλουν ποιησάμενοι ἀφράκτῳ τῷ στρατοπέδῳ ἐπιπεσόντες τάς τε προφυλακίδας ναῦς διέφθειραν, καὶ ναυμα-

Steph. *Τραγαίαν.*“ GOTTL. Plinius ad Ioniae oram, Strabo prope Laden ponit. Itaque Makares insulam inter Naxum et Donussam sitam esse male existimat Ross. It. per insul. Graec. mar. Aeg. I, p. 40. — *στρατιώτιδες*] „στρατιώτας ἄγουσαι τοὺς μέλλοντας πεζομαχεῖν.“ Schol. Cf. VI, 43. Hos milites illae naves adversus Miletum profectae ad exscensionem faciendam portasse putandae sunt.

§. 2. *Ἐπολιόρκουν τρισὶ τείχεσι.* Quum triplicis muri utilitas non perspiciatur, sed in aliis obsidionibus aut simplex aut certe ad propulsanda auxilia extrinsecus advenientia duplex (III, 21.) commemoretur, de tribus muris seu munitionibus, quibus a tribus lateribus urbs cincta fuerit, cogitandum videtur. Hoc post Casaub. ad Polyb. p. 178. clarius docuit Bred.

§. 3. *Ἐπὶ Καύνου καὶ Καρίας.* Non opus fuit scribi καί τῆς ἄλλης Καρίας. Sic Chrysippus et Stoici Cic. Tusc. IV, 5, 9, ubi hunc dicendi morem compluribus exemplis, velut Hom. Il. τ', 63. Ἕκτορι μὲν καὶ Τρωσί, a Davisio illustratum esse adnotat Kuehner. Cf. III, 33. IV, 36. 69. VII, 65. Schoem. ad Plut. Ag. I, 2. p. 75. Drakenb. ad Liv. III, 25, 4. Fabr. ibid. XXI, 55. — *ἐσαγγελθέντων.* Cf. Matth. Gr. §. 563. Buttm. §. 145. adn. 7. 1. Singularem δηλωθέντος legimus 74, 1. — *ἐπ' αὐτούς*, ad Samios (adiuvandos). Cf. Diod. et Plut. — *ἐπὶ τὰς Φοινίσσας*, ad Phoenicias naves arcessendas.

Cap. CXVII. §. 1. *Ποιησάμενοι ... ἐπιπεσόντες.* Prius participium alteri subiectum est. Cf. adn. c. 50. — *ἀφράκτῳ τῷ στρατοπέδῳ.* Significantur castra nautica non munita (maxime σταυρώμασι, ut VI, 66. VII, 25. 38.) Ἄφρακτος ut c. 6. et al. — *τὰς προφυλακίδας ναῦς.* „Nos Wachtschiffe, naves, quae custodiam agunt.“ GOTTL. Has aliquo intervallo a classe subducta in ancoris stetisse et τὰς ἀνταναγομένας esse turbulenter et separatim vel per par-

χοῦντες τὰς ἀνταναγομένας ἐνίκησαν. καὶ τῆς θαλάσσης τῆς καθ' ἑαυτοὺς ἐκράτησαν ἡμέρας περὶ τέσσαρας καὶ δέκα, καὶ ἐςεκομίσαντο καὶ ἐξεκομίσαντο ἃ ἐβούλοντο. ἐλθόντος δὲ Περικλέους, 2
πάλιν ταῖς ναυσὶ κατεκλήσθησαν. καὶ ἐκ τῶν Ἀθηνῶν ὕστερον προςεβοήθησαν τεσσαράκοντα μὲν αἱ μετὰ Θουκυδίδου καὶ Ἅγνωνος καὶ Φορμίωνος νῆες, εἴκοσι δὲ αἱ μετὰ Τληπολέμου καὶ Ἀντικλέους· ἐκ δὲ Χίου καὶ Λέσβου τριάκοντα.
καὶ ναυμαχίαν μέν τινα βραχεῖαν ἐποιήσαντο οἱ 3
Σάμιοι· ἀδύνατοι δὲ ὄντες ἀντισχεῖν ἐξεπολιορκήθησαν ἐνάτῳ μηνί, καὶ προςεχώρησαν ὁμολογίᾳ τεῖχός τε καθελόντες καὶ ὁμήρους δόντες, καὶ ναῦς παραδόντες, καὶ χρήματα τὰ ἀναλωθέντα κατὰ χρόνους ταξάμενοι ἀποδοῦναι. ξυνέβησαν δὲ καὶ Βυζάντιοι, ὥςπερ καὶ πρότερον, ὑπήκοοι εἶναι.

Λακεδαιμονίοις πολὺν χρόνον ἡσυχάσασιν ἡ δύναμις τῶν Ἀθηναίων ἔδοξε καθαιρετέα εἶναι.

1 **118.** *Μετὰ ταῦτα δὲ ἤδη γίγνεται οὐ πολλοῖς ἔτεσιν ὕστερον τὰ προειρημένα, τά τε Κερκυραϊκά, καὶ τὰ Ποτιδαιατικά, καὶ ὅσα πρόφασις*
2 *τοῦδε τοῦ πολέμου κατέστη. ταῦτα δὲ ξύμπαντα, ὅσα ἔπραξαν οἱ Ἕλληνες πρός τε ἀλλήλους καὶ τὸν βάρβαρον, ἐγένετο ἐν ἔτεσι πεντήκοντα μάλιστα μεταξὺ τῆς Ξέρξου ἀναχωρήσεως καὶ τῆς ἀρχῆς τοῦδε τοῦ πολέμου· ἐν οἷς Ἀθηναῖοι τήν τε ἀρχὴν ἐγκρατεστέραν κατεστήσαντο, καὶ αὐτοὶ ἐπὶ μέγα ἐχώρησαν δυνάμεως· οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι οὔτε ἐκώλυον, εἰ μὴ ἐπὶ βραχύ, ἡσύχαζόν τε τὸ πλέον τοῦ χρόνου, ὄντες μὲν καὶ πρὸ τοῦ μὴ ταχεῖς ἰέναι ἐς τοὺς πολέμους, εἰ μὴ ἀναγκάζοιντο, τὸ δέ τι καὶ πολέμοις οἰκείοις ἐξειργόμενοι, πρὶν δὴ ἡ δύναμις τῶν Ἀθηναίων σαφῶς ᾔρετο, καὶ τῆς ξυμμαχίας αὐτῶν ἥπτοντο. τότε δὲ οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' ἐπιχει-*

Cap. CXVII. §. 1. *Τέσσαρας καὶ δέκα* libri optimi. Bekk. *τεσσαραςκαίδεκα*, vulgo *τεσσαρεςκαίδεκα*. Cf. Lob. ad Phryn. p. 409.

tem deductas explicat Arn. — *ἐνίκησαν.* Cf. Plut. Pericl. c. 26, qui Samiorum ducem docet fuisse Melissum. Pugnam a Plut. commemoratam ab hac male discernit Thirw. Hist. Gr. II. p. 456. alteram a Thuc. taceri miratus.

§. 2. *Θουκυδίδου.* Melesiae filium Alopecensem, Periclis aemulum, de quo vid. Sinten. ad Plut. Pericl. c. 11. antiquiores interpretes volunt esse. Dubitationem tamen movet quod is tunc testarum suffragiis patria pulsus fuisse videatur. De rerum scriptore male cogitat Mitford. Hist. Gr. III. p. 18. Gargettium vult esse Bulver Hist. Ath. II. p. 355. ed. Lips. Cf. etiam Wachsm. Antiqu. Gr. I. 2. p. 63. Thirw. l. d. p. 456. sq. Krueg. Append. epicrit. vit. Thuc. p. 24. sq. De Hagnone et Phormione vid. Ind. verb. Quoniam autem nomina omnium horum ducum non leguntur apud Schol. Aristid. p. 182. septem ex novem (cf. 116, 1.) collegis Periclis nominantem, eos extra ordinem ablegatos esse, ut naves tantum suas Samum deducerent, putat Wex. ad Soph. Ant. p. 17. Contra inter priorem et alteram expeditionem annum finitum et novos duces creatos esse patere arbitratur Schultz. de Vit. Soph. p. 45. Cf. etiam Krueg. Stud. hist. p. 211.

§. 3. *Ἐξεπολιορκήθησαν.* „Machinis bellicis, arietibus et testudinibus, quas Pericles in hac obsidione primus adhibuerat, opera usus Artemonis, ut Diod. Sic. XII, 28. notat. Vid. Plin. VII, 56. [et Plut. Pericl. c. 27.]." GOTTL. Cf. tamen Bloomf. et Thirw. l. d. p. 457. — *ἐνάτῳ μηνί.* Hoc tempus inde a pugna ad Tragiam commissa computandum esse, licet prior obsidio paululum interrupta sit, docet Wex. l. d. p. 14. Cf. Seidl. Praef. Antig. p. LVIII. At Schultz. de Vit. Soph. p. 42, ex quo Samii defecerunt, computat. Cf. Krueg. Stud. histor. p. 213. et adn. 115, 2. — *χρήματα τὰ ἀναλωθέντα.* Ducenta talenta fuisse scribit Diod. XII, 28, quae summa iusto minor est; nam mille ponit Isocr. *περὶ ἀντιδ.* §. 113, mille et ducenta Nep. Timoth. c. 1. Cf. Boeckh. Oecon. civ. Athen. I. p. 312. et Thirw. l. d. p. 458. — *ὥςπερ καὶ πρότερον*] „*ἦσαν.*" Schol.

Cap. CXVIII. §. 1. *Οὐ πολλοῖς ἔτεσιν.* Tribus quatuorve annis. Cf. adn. 25, 2. et 115, 2.

§. 2. *Ἐν ἔτεσι πεντήκοντα.* „Intervallum ut longissimum facias, i. e. ab ipsius regis discessu Ol. LXXV, 1. auctumno ad Laconum irruptionem LXXXVII, 2, non integros 49 annos efficies." DOBR. At bellum ab impetu in Plataeas facto incepisse existimandum est cf. II, 1, et additum est *μάλιστα.* — *ἐγκρατεστέραν*] „*ἰσχυροτέραν.*" Schol. Cf. *ἐγκρατῶς* c. 76. — *ἐπὶ μέγα ... δυνάμεως.* Cf. Matth. Gr. §. 341. Rost. §. 108. adn. 13. II, 97. IV, 108. et de vv. *ἐπὶ πολύ* I, 1, 2. — *ἐπὶ βραχύ.* Cf. c. 90. sqq. et c. 114. — *τὸ πλέον τοῦ χρόνου.* Cf. Matth. Gr. §. 442. 3, ubi hoc exemplum substitue pro verbis *ἐπὶ μέγα δυνάμεως.* — *μὴ ταχεῖς.* Adnotandum *μή*, quod apud participium causale rarius legitur in scriptis Atticorum, velut Demosth. c. Boeot. de nom. §. 35, saepius apud communis dialecti scriptores. Vid. Held. ad Plut. Timol. p. 457. De re cf. 69, 4. — *εἰ μὴ ἀναγκάζοιντο.* Cf. Matth. Gr. §. 524. adn. 4. — *τὸ δέ τι.* Cf. adn. 107, 4. — *πολέμοις οἰκείοις.* Vid. c. 101. sqq. — *τῆς ξυμμαχίας.* Cf. Matth. Gr. §. 429. 1. — *ἐποιοῦντο*, i. e. *ἡγοῦντο.* Cf. adn. 102, 4.

ρητέα ἐδόκει εἶναι πάσῃ προθυμίᾳ, καὶ καθαι-
ρετέα ἡ ἰσχύς, ἣν δύνωνται, ἀραμένοις τόνδε τὸν
πόλεμον.

αὐτοὶ μὲν οὖν ἐψηφισμένοι ἦσαν λελύσθαι τὰς σπονδας.

Αὐτοῖς μὲν οὖν τοῖς Λακεδαιμονίοις διέγνω- 3
στο λελύσθαι τε τὰς σπονδάς, καὶ τοὺς Ἀθη-
ναίους ἀδικεῖν· πέμψαντες δὲ ἐς Δελφοὺς ἐπη-
ρώτων τὸν θεόν, εἰ πολεμοῦσιν ἄμεινον ἔσται.
ὁ δὲ ἀνεῖλεν αὐτοῖς, ὡς λέγεται, κατὰ κράτος
πολεμοῦσι νίκην ἔσεσθαι, καὶ αὐτὸς ἔφη ξυλ-
λήψεσθαι καὶ παρακαλούμενος καὶ ἄκλητος.

αὖθις δὲ τοὺς ξυμμάχους παρακαλέσαντες βουλεύονται, εἰ χρὴ πολεμεῖν.

119. Αὖθις δὲ τοὺς ξυμμάχους παρακαλέσαν- 1
τες ψῆφον ἐβούλοντο ἐπαγαγεῖν, εἰ χρὴ πολεμεῖν.
καὶ ἐλθόντων τῶν πρέσβεων ἀπὸ τῆς ξυμμαχίας,
καὶ ξυνόδου γενομένης, οἵ τε ἄλλοι εἶπον ἃ
ἐβούλοντο, κατηγοροῦντες οἱ πλείους τῶν Ἀθη-
ναίων καὶ τὸν πόλεμον ἀξιοῦντες γενέσθαι, καὶ
οἱ Κορίνθιοι δεηθέντες μὲν καὶ κατὰ πόλεις
πρότερον ἑκάστων ἰδίᾳ, ὥστε ψηφίσασθαι τὸν
πόλεμον, δεδιότες περὶ τῇ Ποτιδαίᾳ, μὴ προδι-
αφθαρῇ, παρόντες δὲ καὶ τότε καὶ τελευταῖοι
ἐπελθόντες, ἔλεγον τοιάδε.

λόγος Κορινθίων, οἳ μετὰ βραχὺν ἔπαινον Λακεδαιμονίων πρῶτον μὲν ἀποδεικνύασιν, ὅτι νῦν γε ὁ πόλεμος ἀναγκαῖός ἐστιν ἀνδράσι σώφροσι μέν, ἀγαθοῖς δέ.

120. „Τοὺς μὲν Λακεδαιμονίους, ὦ ἄνδρες 1
ξύμμαχοι, οὐκ ἂν ἔτι αἰτιασαίμεθα, ὡς οὐ καὶ
αὐτοὶ ἐψηφισμένοι τὸν πόλεμόν εἰσι, καὶ ἡμᾶς

— ἐπιχειρητέα. Cf. Matth. Gr. §. 443. 1. b.

§. 3. Αὐτοῖς ... διέγνωστο. Cf. 87, 2. sqq., ad quem locum reditur. — εἰ πολεμοῦσιν ἄμεινον ἔσται. Cf. Matth. Gr. §. 555. adn. 2. et §. 457. d. Similiter Lat. melius erit. Vid. Gron. ad Liv. III, 41. 3. — ἀνεῖλεν ... ξυλλήψεσθαι. Cf. II, 54. et de nomin. αὐτός Rost. Gr. §. 126. adn. 3. — καὶ παρακαλούμενος καὶ ἄκλητος. „Hor. [Carm. II, 18. extr.] vocatus atque non vocatus.“ WASS.

Cap. CXIX. §. 1. Αὖθις. Cf. c. 67. et 87, 4. — τοὺς ξυμμάχους παρακαλέσαντες. Cf. Diod. XII, 41. — ψῆφον ... ἐπαγαγεῖν. Cf. adn. 87, 4. — ἀπὸ τῆς ξυμμαχίας. Cf. adn. 118, 2. ξυνόδου. De his sociorum Lacedaemoniorum conventibus vid. Kortuem. Respubl. Gr. p. 44. Muell. Dor. I. p. 181. sq. — ὥστε. Cf. Matth. Gr. §. 531. adn. 2. Rost. §. 125. adn. 8. — ἔλεγον. Cf. adn. 72, 3.

Cap. CXX. §. 1. Οὐκ ... ἔτι. Ut c. 68. sqq. — ἐς τοῦτο, ad hoc, i. e. hoc ipso consilio, ut bellum decerna-

ἐς τοῦτο νῦν ξυνήγαγον. χρὴ γὰρ τοὺς ἡγεμόνας
τὰ ἴδια ἐξ ἴσου νέμοντας τὰ κοινὰ προσκοπεῖν,
ὥσπερ καὶ ἐν ἄλλοις ἐκ πάντων προτιμῶνται.
2 ἡμῶν δὲ ὅσοι μὲν Ἀθηναίοις ἤδη ἐνηλλάγησαν
οὐχὶ διδαχῆς δέονται, ὥστε φυλάξασθαι αὐτούς·
τοὺς δὲ τὴν μεσόγειαν μᾶλλον καὶ μὴ ἐν πόρῳ
κατῳκημένους εἰδέναι χρή, ὅτι, τοῖς κάτω ἢν μὴ
ἀμύνωσι, χαλεπωτέραν ἕξουσι τὴν κατακομιδὴν
τῶν ὡραίων καὶ πάλιν ἀντίληψιν ὧν ἡ θάλασσα
τῇ ἠπείρῳ δίδωσι, καὶ τῶν νῦν λεγομένων μὴ
κακοὺς κριτὰς ὡς μὴ προσηκόντων εἶναι, προσ-
δέχεσθαι δέ ποτε, εἰ τὰ κάτω πρόοιντο, κἂν
μέχρι σφῶν τὸ δεινὸν προελθεῖν, καὶ περὶ αὐτῶν
3 οὐχ ἧσσον νῦν βουλεύεσθαι. διόπερ καὶ μὴ
ὀκνεῖν δεῖ αὐτοὺς τὸν πόλεμον ἀντ' εἰρήνης με-
ταλαμβάνειν. ἀνδρῶν γὰρ σωφρόνων μέν ἐστιν,
εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν, ἀγαθῶν δὲ ἀδικου-

mus. Cf. ed. mai. — χρὴ γάρ. Explicatur, cur iure ἐψηφισμένοι ... εἰσὶ καὶ ... ξυνήγαγον. Planius igitur sic dixeris: et haec recte fecerunt; decet enim. Cf. Hart. de Part. I. p. 465. Ceterum pro ξυνήγαγον poterat quidem item perfectum collocari, sed cf. adn. 73, 1. et II, 60, 1. — νέμοντας, administrantes. Cf. c. 71. et Arn. Ἐξ ἴσου, ex aequo, i. e. ita, ut non prae aliis sibi quid tribuant. — προσκοπεῖν, prae ceteris (ὑπὲρ τοὺς ἄλλους) spectare, in primis curare. — ἐν ἄλλοις] „ἐν προεδρίᾳ καὶ τοῖς τοιούτοις.“ Schol. — ἐκ πάντων προτιμῶνται, ex omnibus praecipue honorantur. Paulo exquisitius est dicendi genus.

§. 2. Ἐνηλλάγησαν, commercium habuerunt, συνέμιξαν καὶ ὡμίλησαν (Schol.). De aoristi medii flexione passiva, ut in ἀπαλλαγῆναι, διαλλαγῆναι, καταλλαγῆναι, ξυναλλαγῆναι, cf. Matth. Gr. §. 493. — τοὺς δὲ ... κατῳκημένους. Κατοικεῖσθαι, ut Lat. habitare et incolere, et transitivum est et intransitivum, quare hic mutata est verborum compositio. Perfectum medii vel, si mavis, deponentis passive flexum est, ut II, 99. III, 34. V, 83. Cf. Matth. Gr. §. 496. 3. Ἐν πόρῳ, ad traiectum, in aditu aliquo (maritimo), ut VI, 48. De καὶ μή vid. Matth. Gr. §. 455. adn. 3. b. — τοῖς κάτω] „τοῖς παραλίοις.“ Schol. Cf. adn. c. 7. — τὴν κατακομιδὴν τῶν ὡραίων, deportationem frugum (e mediterraneis regionibus ad portus, ubi vendantur et exportentur). — ἀντίληψιν, das Dagegenempfangen, commutationem (mercium), perceptionem. — εἶναι. Ex superioribus repete χρή.

§. 3. Εἰ μὴ ἀδικοῖντο. Usitatius ἐὰν μὴ ἀδικῶνται diceretur, nec satis similia sunt ex-

μένους ἐκ μὲν εἰρήνης πολεμεῖν, εὖ δὲ παρασχὸν
ἐκ πολέμου πάλιν ξυμβῆναι, καὶ μήτε τῇ κατὰ
πόλεμον εὐτυχίᾳ ἐπαίρεσθαι, μήτε τῷ ἡσυχίῳ
τῆς εἰρήνης ἡδόμενον ἀδικεῖσθαι. ὅ τε γὰρ διὰ 4
τὴν ἡδονὴν ὀκνῶν τάχιστ᾽ ἂν ἀφαιρεθείη τῆς
ῥαστώνης τὸ τερπνόν, δι᾽ ὅπερ ὀκνεῖ, εἰ ἡσυχάζοι,
ὅ τε ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων οὐκ ἐντεθύ-
μηται θράσει ἀπίστῳ ἐπαιρόμενος. πολλὰ γὰρ 5
κακῶς γνωσθέντα, ἀβουλοτέρων τῶν ἐναντίων
τυχόντων, κατωρθώθη, καὶ ἔτι πλέω, ἃ καλῶς δο-
κοῦντα βουλευθῆναι ἐς τοὐναντίον αἰσχρῶς πε-
ριέστη. ἐνθυμεῖται γὰρ οὐδεὶς * ὁμοίᾳ * τῇ πί-
στει καὶ ἔργῳ ἐπεξέρχεται, ἀλλὰ μετὰ ἀσφαλείας
μὲν δοξάζομεν, μετὰ δέους δὲ ἐν τῷ ἔργῳ ἐλ-
λείπομεν.

121. Ἡμεῖς δὲ νῦν καὶ ἀδικούμενοι τὸν πό- 1
λεμον ἐγείρομεν καὶ ἱκανὰ ἔχοντες ἐγκλήματα, καὶ

Cap. CXX. §. 5. Ὁμοίᾳ. Ita de coniectura Reiskii scripsimus. Vulgo et Bekk. ὅμοια vel ὁμοία. Cf. adn.

empla §. 2. c. 140. alia, quae, ut εἰ fere idem atque ἐάν esse doceat, cum hoc componit Dobr. in Thuc. p. 112. similius ceteris 121, 4. ubi vid. adn. Cf. Matth. Gr. §. 124. adn. 3. — ἐκ, post. Cf. Matth. Gr. §. 574. p. 1334. et infra 124, 2. — εὖ παρασχόν. Vid. Matth. Gr. §. 564. V, 14. VI, 63. — ἡδόμενον. Si ἡδομένους malis, cogita nihil referre, utrum haec sententia plurali an singulari expressa cogitetur, et antea aeque bene ἀγαθοῦ ἀνδρός potuisse scribi. Cf. ad Xen. Cyr. I, 6, 21. et quos in ed. mai. I. 1. p. 93. citavimus. — ἀδικεῖσθαι, offendi se pati, iniurias perferre, ut 1 Cor. 6, 7. et πολιορκεῖσθαι III, 52. init.

§. 4. Εἰ ἡσυχάζοι. Haec ne langueant, videntur interpretanda esse si pergat quiescere, si perseveret in desidia, quam vim in imperativo certe praesentis saepe inesse constat. Cf. Rost. Gr. §. 124, 2. et εἰ ἀντίσχοιεν 121, 4. — ὅ τε . . . εὐτυχίᾳ πλεονάζων. Cogitatur simul de consequenti. Cf. Dio Cass. XLIV, 29. τὸ εὐτυχῆσαν ὕβρει πλεονάζει, Dexipp. p. 14. et ed. mai.

§. 5. Τυχόντων. De non addito participio cf. adn. 32, 3. — ἔτι πλέω. Omissum est verbum substantivum, quod dicunt. Cf. Rost. Gr. §. 100. adn. 4. — ἐνθυμεῖται . . . ἐπεξέρχεται, nemo enim eadem fiducia deliberat ac reipsa exsequitur (deliberata), i. e. nemo enim in rebus exsequendis aeque magnam atque in consiliis capiendis fiduciam demonstrat. Similis sermonis forma reperitur 140, 1. — μετὰ ἀσφαλείας, cum securitate, i. e. cum

ὅτ᾽ ἂν ἀμυνώμεθα Ἀθηναίους, καταθησόμεθα
2 αὐτὸν ἐν καιρῷ. κατὰ πολλὰ δὲ ἡμᾶς εἰκὸς
ἐπικρατῆσαι, πρῶτον μὲν πλήθει προύχοντας καὶ
ἐμπειρίᾳ πολεμικῇ, ἔπειτα ὁμοίως πάντας ἐς τὰ
3 παραγγελλόμενα ἰόντας. ναυτικόν τε, ᾧ ἰσχύου-
σιν, ἀπὸ τῆς ὑπαρχούσης τε ἑκάστοις οὐσίας
ἐξαρτυσόμεθα καὶ ἀπὸ τῶν ἐν Δελφοῖς καὶ
Ὀλυμπίᾳ χρημάτων. δάνεισμα γὰρ ποιησάμενοι
ὑπολαβεῖν οἷοί τ᾽ ἐσμὲν μισθῷ μείζονι τοὺς ξέ-
νους αὐτῶν ναυβάτας· ὠνητὴ γὰρ Ἀθηναίων ἡ
δύναμις μᾶλλον ἢ οἰκεία· ἡ δὲ ἡμετέρα ἧσσον
ἂν τοῦτο πάθοι, τοῖς σώμασι τὸ πλέον ἰσχύουσα
4 ἢ τοῖς χρήμασι. μιᾷ τε νίκῃ ναυμαχίας κατὰ τὸ
εἰκὸς ἁλίσκονται· εἰ δ᾽ ἀντίσχοιεν, μελετήσομεν
καὶ ἡμεῖς ἐν πλέονι χρόνῳ τὰ ναυτικά. καὶ

ἔπειτα λέγουσιν, ὅτι νικῆσαι σφᾶς εἰκός ἐστιν.

certa fiducia. Contraria μετὰ δέους valent timidi.

Cap. CXXI. §. 2. Κατὰ πολλά, multis de causis, ut c. 123. Hinc, non a §. 1., novum caput debebat incipere; nam sequitur τὸ δυνατόν, postquam expositum est τὸ δίκαιον. Refellit hanc alteram partem Pericles c. 141. sq. — πλήθει. Cf. 81, 1. — ἐμπειρίᾳ πολεμικῇ. „Ἐν τῷ πεζῷ, οὐ μὴν καὶ ναυτικῷ.“ ΔΟΥΚΑΣ. Cf. II, 89, 2. 3. — ἐς τὰ παραγγελλόμενα, ad imperata facienda. Cf. III, 55. Obedientiae, quae summa fuit apud Dores, aequalitas et par omnium disciplinae severitas his laudatur. Cf. II, 11. extr.

§. 3. Ναυτικόν τε. Τὲ refertur ad πρῶτον μὲν — ἔπειτα, ut c. 33. — ἀπὸ τῆς . . . οὐσίας. Cf. tamen c. 80. extr. — ἀπὸ τῶν . . . χρημάτων. In illis enim templis maxima erat vis auri et argenti, quas pecunias mutuas sumpturi erant. Cf. c. 143. — ὑπολαβεῖν τοὺς . . . ναυβάτας. Graeci ex civitatibus maritimis et insulis Atheniensium imperio subiectis orti intelligendi sunt. Cf. Isocr. apud Muell. Dor. I. p. 196. et infra c. 143, ubi, si ad Peloponnesios transierint, exsulaturi esse dicuntur. De ὑπολ. cf. adn. c. 68. — ὠνητή. Emptus est hic mercede conductus, mercenarius. — τοῦτο. I. e. τὸ ὑπολαμβάνεσθαι μισθῷ μείζονι, vel, quod nihil differt, τὸ ὠνητὴν εἶναι, sic ut hoc per dilogiam hic valeat emi posse. Etiam voce δύναμις (opes) dilogia videtur contineri; nam apud ὠνητή copias, postea ob adiecta τοῖς σώμασι . . . χρήμασι magis potentiam, quae militibus (domesticis) potius quam pecuniis (quibus peregrini conducantur) vigeat, designat; milites enim Peloponnesiorum si corporibus magis quam pecuniis pollere dicerentur, haec non esset causa, cur difficilius, sed cur facilius mercede subducerentur.

§. 4. Μιᾷ νίκῃ ναυμαχίας] εἰ ἅπαξ τῇ ναυμαχίᾳ νικηθῶσιν. — κατὰ τὸ εἰκὸς ἁλίσκονται, i. e. εἰκός ἐστιν αὐτοὺς ἁλίσκεσθαι (expugnari). — εἰ δ᾽ ἀντίσχοιεν, μελετήσομεν. Similiter Iso-

ὅτ᾽ ἂν τὴν ἐπιστήμην ἐς τὸ ἴσον καταστήσωμεν,
τῇ γε εὐψυχίᾳ δήπου περιεσόμεθα. ὃ γὰρ ἡμεῖς
ἔχομεν φύσει ἀγαθόν, ἐκείνοις οὐκ ἂν γένοιτο
διδαχῇ· ὃ δὲ ἐκεῖνοι ἐπιστήμῃ προὔχουσι, καθαι-
ρετέον ἡμῖν ἐστι μελέτῃ. χρήματα δ᾽ ὥστ᾽ ἔχειν 5
ἐς αὐτά, οἴσομεν· ἢ δεινὸν ἂν εἴη, εἰ οἱ μὲν
ἐκείνων ξύμμαχοι ἐπὶ δουλείᾳ τῇ αὑτῶν φέρον-
τες οὐκ ἀπεροῦσιν, ἡμεῖς δ᾽ ἐπὶ τῷ τιμωρούμενοι
τοὺς ἐχθροὺς καὶ αὐτοὶ ἅμα σώζεσθαι οὐκ ἄρα
δαπανήσομεν, καὶ ἐπὶ τῷ μὴ ὑπ᾽ ἐκείνων αὐτὰ
ἀφαιρεθέντες αὐτοῖς τούτοις κακῶς πάσχειν.

122. Ὑπάρχουσι δὲ καὶ ἄλλαι ὁδοὶ πολέμου 1
ἡμῖν, ξυμμάχων τε ἀπόστασις, μάλιστα παραί-
ρεσις οὖσα τῶν προσόδων, αἷς ἰσχύουσι, καὶ ἐπι-
τειχισμὸς τῇ χώρᾳ, ἄλλα τε, ὅσα οὐκ ἂν τις
νῦν προΐδοι. ἥκιστα γὰρ πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ,
αὐτὸς δὲ ἀφ᾽ αὑτοῦ τὰ πολλὰ τεχνᾶται πρὸς τὸ
παρατυγχάνον· ἐν ᾧ ὁ μὲν εὐοργήτως αὐτῷ
προσομιλήσας βεβαιότερος, ὁ δὲ ὀργισθεὶς περὶ
2 αὑτὸν οὐκ ἐλάσσω πταίει. ἐνθυμώμεθα δὲ καί,
ὅτι, εἰ μὲν ἦσαν ἡμῶν ἑκάστοις πρὸς ἀντιπά-
λους περὶ γῆς ὅρων διαφοραί, οἰστὸν ἂν ἦν· νῦν
δὲ πρὸς ξύμπαντάς τε ἡμᾶς Ἀθηναῖοι ἱκανοί,
καὶ κατὰ πόλιν ἔτι δυνατώτεροι· ὥστε, εἰ μὴ
καὶ ἀθρόοι καὶ κατὰ ἔθνη καὶ ἕκαστον ἄστυ
μιᾷ γνώμῃ ἀμυνούμεθα αὐτούς, δίχα γε ὄντας
ἡμᾶς ἀπόνως χειρώσονται· καὶ τὴν ἧσσαν, εἰ καὶ
δεινόν τῳ ἀκοῦσαι, ἴστω οὐκ ἄλλο τι φέρουσαν ἢ
3 ἄντικρυς δουλείαν· ὃ καὶ λόγῳ ἐνδοιασθῆναι
αἰσχρὸν τῇ Πελοποννήσῳ, καὶ πόλεις τοσάσδε
ὑπὸ μιᾶς κακοπαθεῖν. ἐν ᾧ ἢ δικαίως δοκοῖμεν
ἂν πάσχειν, ἢ διὰ δειλίαν ἀνέχεσθαι, καὶ τῶν
πατέρων χείρους φαίνεσθαι, οἳ τὴν Ἑλλάδα
ἠλευθέρωσαν· ἡμεῖς δὲ οὐδ᾽ ἡμῖν αὐτοῖς βεβαι-

καὶ μὴν τὸ ἡσυχάζειν αἰσχρόν τε εἶναι καὶ δουλείαν φέρειν.

Cap. CXXI. §. 4. *Καθαιρετέον.* Dindorfius coniecit *καθαιρετόν*, quod superioribus *ἂν γένοιτο* melius respondet, et confirmari verbis Dion. Cass. Exc. Vat. p. 181. adnotavit Sintenis.
§. 5. *Αὑτῶν* Bekk. Vulgo et in mss. *αὐτῶν*. Cf. adn. c. 17.

Cap. CXXII. §. 1. *Περὶ αὑτόν* Dobr. et in ed. ster. Bekk. Vulgo *περὶ αὐτόν* (*τὸν πόλεμον*), sed *ὀργίζεσθαι περί τι* num recte dicatur, dubito, quum usitatissimum sit *πταίειν περί τι* et *περί τινι*, ut *σφαλῆναι*. Cf. adn. 69, 5.

crates *εἰ θέλοιμεν σκοπεῖν, εὑρήσομεν*. Vid. Rost. Gr. §. 121. II. B. Cf. adn. 120, 3. Ceterum aut suppl. *μετὰ μίαν νίκην ναυμαχίας*, aut praesentis *ἀντίσχω* optativo tribuenda vis ad 120, 4. explicata. De re cf. 80, 4. 142, 6. sqq.

§. 5. *Χρήματα ... οἴσομεν.* Refutantur Archidami verba c. 80.; sed cf. etiam c. 141. — *δεινὸν ἂν εἴη, εἰ οἱ μὲν ... ἡμεῖς δέ.* Cf. adn. 35, 3. et de *οὐ* ob hanc orationis conformationem, quamvis *εἰ* praecedat, necessario Buttm. Gr. §. 148. 2. b.* Hart. de Part. II. p. 122. nos ad Xen. Anab. VII, 1, 29. Cum sententia cf. VIII, 45, 5. — *οὐκ ἀπεροῦσιν*, i. e. *οὐ καμοῦνται*. Cf. Matth. Gr. §. 550. b. — *καὶ αὐτοὶ ἅμα*, simul etiam ipsi. — *οὐκ ἄρα.* Adnotandum *ἄρα* remotius ab *εἰ* et initio sententiae. Cf. Heind. ad Plat. Protag. p. 355. B. — *αὐτὰ*] *τὰ χρήματα*.

Cap. CXXII. §. 1. Caput rursus falso loco incipit, nam haec paragraphus ad *τὸ δυνατόν* pertinet, a §. 2. incipit *τὸ ξυμφέρον*. — *ὁδοὶ τοῦ πολέμου.* „viae seu rationes belli (feliciter) gerendi. Ita Tac. Ann. II, 5. proeliorum vias." GOTTL. — *ἀπόστασις* hic est *τὸ ἀφιστάναι*, sollicitatio ad deficiendum, non ut plerumque, *τὸ ἀφίστασθαι*, defectio. — *ἐπιτειχισμὸς τῇ χώρᾳ*, aedificatio munitionis ad agrum eorum infestandum. Cf. Hemsterh. ad Luci. I. pag. 285. ed. Lehm. Infra c. 142, ubi contra haec disputat Pericles §. 2. sqq., *ἐπιτείχισις*. De Decelea utrumque legitur VI, 91. 93. VII, 18. 28. De dat. vid. Rost. Gr. §. 105. 6. — *ἐπὶ ῥητοῖς* (i. e. *ὡρισμένοις, τακτοῖς*, cf. adn. c. 13.) *χωρεῖ*, procedit constitutis legibus, certa et praevisa sequitur. — *παρατυγχάνον*] „*παρεμπῖπτον*." Schol. *εὐοργήτως*, animo irae (Leidenschaft) suae moderante, animo moderato. Cf. Steph. Thes. Vig. p. 124. et adn. c. 140. init. — *προσομιλήσας*. Ut *ὁμιλεῖν* VI, 70. — *οὐκ ἐλάσσω* (haud paullum, non leviter) *πταίει*. De accusat. vid. adn. 38, 6, de comparat. Bernh. Synt. p. 433, nisi gradum comparat. mavis respondere superiori *βεβαιότερος*, et interpretari *μᾶλλον*.

§. 2. *Ἀντιπάλους*, pares adversarios. Contraria sunt verba *νῦν δὲ ... χειρώσονται*, ut verbis *περὶ γῆς ὅρων* contraria *καὶ τὴν ἧσσαν ... δουλείαν*. — *δίχα ὄντας*. Cf. adn. 64, 1, nisi quod hic vis translata inest.

§. 3. *Ὃ ... τῇ Πελοποννήσῳ.* „Ὃ pertinet ad totam sententiam, *τὴν ἧσσαν φέρειν δουλείαν*. Sensus igitur est: turpe est Peloponnesiis de servitute tanquam de re, quae possit ex clade ipsis accidere, vel oratione ambigere, i. e. dubitanter loqui." HAACK. „Tecte opponuntur haec: nedum *ἔργῳ γενέσθαι*." ARN. Quae sequuntur, *καὶ πόλεις ... κακοπαθεῖν*, non cohaerent cum verbis *ὃ αἰσχρόν*, sed cum solo *αἰσχρόν*. Ὑπό cum *κακοπαθεῖν* etiam II, 41. iunctum est. — *Φαίνεσθαι.* Si *εἶναι* exspectaveris, cf. Born. ad Xen. Mem.

οῦμεν αὐτό, τύραννον δὲ ἐῶμεν ἐγκαθεστάναι πόλιν, τοὺς δ᾽ ἐν μιᾷ μονάρχους ἀξιοῦμεν καταλύειν. καὶ οὐκ ἴσμεν, ὅπως τάδε τριῶν τῶν 4 μεγίστων ξυμφορῶν ἀπήλλακται, ἀξυνεσίας, ἢ μαλακίας, ἢ ἀμελείας. οὐ γὰρ δὴ πεφευγότες ταῦτα ἐπὶ τὴν πλείστους δὴ βλάψασαν καταφρόνησιν κεχωρήκατε, ἣ ἐκ τοῦ πολλοὺς σφάλλειν τὸ ἐναντίον ὄνομα ἀφροσύνη μετωνόμασται.

τὸ δὲ πολεμεῖν ἄξιόν τε τῶν πατέρων εἶναι καὶ κατὰ πολλὰ καλόν.

123. Τὰ μὲν οὖν προγεγενημένα τί δεῖ μα- 1 κρότερον ἢ ἐς ὅσον τοῖς νῦν ξυμφέρει αἰτιᾶσθαι; περὶ δὲ τῶν ἔπειτα μελλόντων τοῖς παροῦσι βοηθοῦντας χρὴ ἐπιταλαιπωρεῖν, (πάτριον γὰρ ὑμῖν ἐκ τῶν πόνων τὰς ἀρετὰς κτᾶσθαι,) καὶ

Cap. CXXIII. §. 1. Ὑμῖν in mss. optimis. Vulgo et Bekk.

II, 1, 22. — ἠλευθέρωσαν. A Persarum dominatione, ut videtur. — αὐτό, i. e. τὸ ἠλευθερῶσθαι, τὴν ἐλευθερίαν. Cf. Bernh. Synt. p. 283. — ἐγκαθεστάναι, i. e. ἐν τῇ Ἑλλάδι καθεστ. Cf. 124, 3. — τοὺς δ᾽ ἐν … καταλύειν. Haec ad Lacedaemonios maxime spectant. Vid. c. 18. init.

§. 4. Οὐκ ἴσμεν … ξυμφορῶν, ignoramus, quomodo talis agendi ratio a tribus maximis incommodis libera sit, (sed eam intelligimus necessario cum uno horum trium malorum coniunctam esse, unde apparet, cur postea ἢ legatur, non καί.) — οὐ γὰρ δὴ … ταῦτα, certe enim non haec (tria summa mala) effugientes (sed quia uno alterove eorum aut universis tenemini). — καταφρόνησιν. „Ὁ Θουκυδίδης τὴν ὑπερφρόνησίν φησι· ἐπίτασιν γὰρ ἡ κατὰ πρόθεσις σημαίνει.“ Suid. Est proprie despicientia, contemptus aliorum ex nimia sui fiducia ortus. Cf. II, 62. Hic, ubi ἀφροσύνη contrarium ei nomen esse dicitur, alteram forsitan mentis elationem, alteram mentis inopiam, ad ἀντίθετα servanda Kistemakerum secutus appellaveris. Adnominationis et contrariorum relationis exempla vide in ed. mai. I. 1. p. 260. — τὸ ἐναντίον ὄνομα ἀφροσύνη μετωνόμασται. Cf. Matth. Gr. §. 424. 1. Ob adiecta τὸ ἐν. ὄν. proprie quidem simplex ὠνόμ. collocandum fuisse videatur; non maior tamen copia est orationis quam in vv. τοὺς λόγους μακροτέρους οὐ μηκυνοῦμεν IV, 17. et in collectis ad I, 23. 133. al. Ἀφροσύνη (stultitia) distinguitur ab ἀξυνεσίᾳ (imprudentia, Mangel an Einsicht); nam aequiparatur καταφρονήσει, eiusque crimen, sicut haec, ex ἀξυνεσίᾳ oriri dicitur.

Cap. CXXIII. §. 1. Sequitur quarta pars adhortationes continens. — Ἔπειτα μελλόντων. Alterutrum quidem vocabulum sufficiebat, et ἔπειτα non agnoscit Schol., μελλόντων deleri vult Krueger, ambo tamen superiori προγεγενημένα melius respondent. Cf. etiam ἐν τῷ τότε

μὴ μεταβάλλειν τὸ ἔθος, εἰ ἄρα πλούτῳ τε νῦν καὶ ἐξουσίᾳ ὀλίγον προφέρετε, (οὐ γὰρ δίκαιον ἃ τῇ ἀπορίᾳ ἐκτήθη τῇ περιουσίᾳ ἀπολέσθαι,) ἀλλὰ θαρσοῦντας ἰέναι κατὰ πολλὰ ἐς τὸν πόλεμον, τοῦ τε θεοῦ χρήσαντος καὶ αὐτοῦ ὑποσχομένου ξυλλήψεσθαι, καὶ τῆς ἄλλης Ἑλλάδος πάσης ξυναγωνιουμένης, τὰ μὲν φόβῳ, τὰ δὲ ὠφελίᾳ. σπονδάς τε οὐ λύσετε πρότεροι, ἅς γε καὶ ὁ θεὸς κελεύων πολεμεῖν νομίζει παραβεβά-
2 σθαι, ἠδικημέναις δὲ μᾶλλον βοηθήσετε· λύουσι γὰρ οὐχ οἱ ἀμυνόμενοι, ἀλλ᾽ οἱ πρότεροι ἐπιόντες.

124. Ὥστε πανταχόθεν καλῶς ὑπάρχον ὑμῖν πολεμεῖν, καὶ ἡμῶν τάδε κοινῇ παραινούντων,
1 εἴπερ βεβαιότατον τὸ ταῦτα ξυμφέροντα καὶ πόλεσι καὶ ἰδιώταις εἶναι, μὴ μέλλετε Ποτιδεάταις τε ποιεῖσθαι τιμωρίαν οὖσι Δωριεῦσι καὶ ὑπὸ Ἰώνων πολιορκουμένοις, οὐ πρότερον ἦν τοὔναν-

τοιγαροῦν οὐκέτι ἐξεῖναι ἀναβάλλεσθαι τὸν πόλεμον.

ἡμῖν. At et regnat in iis, quae sequuntur, persona secunda, et modestius haec Corinthii de Lacedaemoniis dicunt quam per κοίνωσιν.

παρόντι c. 95. extr. et Soph. Ant. v. 611. — ἐπιταλαιπωρεῖν. Non apte Schol. προσθεῖναι τὸν πόνον. Melius interpres Lat. labores ultro subire. — ἀρετάς. Cf. adn. 33, 2. — πάτριον, mos patrius (Cic. de Or. I, 18.), ut IV, 92. — προφέρετε, i. e. τῶν πατέρων ὑπερφέρετε, προέχετε. — ἐκτήθη. Passive accipiendum. Cf. II, 36. VII, 70. Matth. Gr. §. 496. e. Rost. §. 113. adn. 6. — κατὰ πολλά. Cf. adn. 121, 2. — τὰ μὲν φόβῳ] „ἵνα μὴ δουλωθῇ.“ Schol. Cf. II, 8. 11. — τὰ δὲ ὠφελίᾳ, et ut utilitatem percipiat (libertatem recuperans). De hoc altero dativo vid. Matth. Gr. §. 398. 4. b.

§. 2. Σπονδὰς … πρότεροι. Cf. 67. 1. — παραβεβάσθαι. Suidas: παραβεβάσθαι τὰς σπονδάς, τὸ παθητικὸν τοῦ παραβεβηκέναι· πάνυ ἀκολούθως Θουκυδίδης. Cf. ibi Bernh. et Matth. Gr. §. 226.

Cap. CXXIV. §. 1. Ὑπάρχον, i. e. παρόν, ἐξόν. Cf. adn. ad παρασχόν 120, 2. — τάδε, i. e. πολεμεῖν. Cf. Matth. Gr. §. 472. 5. Tum εἴπερ est siquidem. — ταῦτα, i. e. το ποιεῖσθαι τιμωρίαν Δωριεῦσι πολιορκουμένοις καὶ τὸ τῶν ἄλλων μετελθεῖν τὴν ἐλευθερίαν. Idem tamen atque superius τάδε esse vult Arn., ut c. 143. τάδε et ταῦτα de eadem re dicuntur. — Δωριεῦσι … ὑπὸ Ἰώνων; Quod turpe putabatur. Cf. V, 9. VI, 77. VII, 5. VIII, 25. — πολιορκουμένοις. Vid.

τίον, καὶ τῶν ἄλλων μετελθεῖν τὴν ἐλευθερίαν·
(ὡς οὐκέτι ἐνδέχεται περιμένοντας τοὺς μὲν ἤδη 2
βλάπτεσθαι, τοὺς δ', εἰ γνωσθησόμεθα ξυνελθόν-
τες μέν, ἀμύνεσθαι δὲ οὐ τολμῶντες, μὴ πολὺ
ὕστερον τὸ αὐτὸ πάσχειν·) ἀλλὰ νομίσαντες ἐς
ἀνάγκην ἀφῖχθαι, ὦ ἄνδρες ξύμμαχοι, καὶ ἅμα
τάδε ἄριστα λέγεσθαι, ψηφίσασθε τὸν πόλεμον,
μὴ φοβηθέντες τὸ αὐτίκα δεινόν, τῆς δ' ἀπ' αὐτοῦ
διὰ πλείονος εἰρήνης ἐπιθυμήσαντες· ἐκ πολέμου
μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται, ἀφ' ἡσυχίας
δὲ μὴ πολεμῆσαι οὐχ ὁμοίως ἀκίνδυνον. καὶ τὴν 3
καθεστηκυῖαν ἐν τῇ Ἑλλάδι πόλιν τύραννον ἡγη-
σάμενοι ἐπὶ πᾶσιν ὁμοίως καθεστάναι, ὥςτε τῶν
μὲν ἤδη ἄρχειν, τῶν δὲ διανοεῖσθαι, παραστη-
σώμεθα ἐπελθόντες, καὶ αὐτοὶ ἀκινδύνως τὸ λοι-
πὸν οἰκῶμεν, καὶ τοὺς νῦν δεδουλωμένους Ἕλληνας
ἐλευθερώσωμεν.“

οἱ ξύμμαχοι τῶν Λακεδαιμονίων

125. Τοιαῦτα οἱ Κορίνθιοι εἶπον. οἱ δὲ Λακε- 1
δαιμόνιοι ἐπειδὴ ἀφ' ἁπάντων ἤκουσαν γνώμην,

Cap. CXXIV. §. 2. Ἐς (vel εἰς) ἀνάγκην Cass. Aug. Cl. Ven. Pal. (apud Frommel. et Morst.) C. I. al. Vulgo et Bekk. ἐπ' ἀνάγκην. At cf. I, 49. IV, 10. et Bloomf. c. 64. — μετελθεῖν τὴν ἐλευθερίαν. „Nachgehen der Freiheit, ut aut non effugiat, aut eam, quae effugerit, assequamur, raptam recipiamus et vindicemus.“ BRED. Cf. c. 34.

§. 2. Ὡς οὐκέτι ... βλάπτεσθαι. „Nam non amplius licet nos, dum moramur, partim iam iniuria affici (ut Potidaeatas).“ HAACK. Qui tamen pro Potidaeatis Corinthios nominare debebat, cf. c. 121. init.; nam Potidaeatae nec cunctabantur, nec pronomine ἡμᾶς, quod subauditur, contineri possunt. Ex interpretatione apparet, cur περιμένοντας in accusativo collocari potuerit. Cf. Rost. Gr. §. 131. adn. 2. extr. — ἀλλὰ ... ψηφίζεσθε τὸν πόλεμον. Haec contraria sunt enunciato μὴ μέλλετε ... μετελθεῖν τὴν ἐλευθερίαν. — διὰ πλείονος, diutius, et apud substant. diuturnioris. — ἐκ πολέμου. Cf. 120, 3. — ἀφ' ἡσυχίας, propter quietis (pacis) cupiditatem. Cf. Matth. Gr. §. 573. p. 1331. — οὐχ ὁμοίως. „Ac si quis ex bello pacem pepigerit.“ HAACK.

§. 3. Τὴν καθεστηκυῖαν ... πόλιν τύραννον. De collocatione verborum cf. adn. 90. 1., et noli τύραννον adiectivum putare. Cf. 122, 3. — ἐπί. Cf. adn. c. 40. extr. — διανοεῖσθαι. Suppl. ἄρχειν. Cf. adn. 1, 1.

Cap. CXXV. §. 1. Ἀφ' ἁπάντων. Cf. Matth. Gr. §. 373.

ψῆφον ἐπήγαγον τοῖς ξυμμάχοις ἅπασιν, ὅσοι
παρῆσαν, ἑξῆς, καὶ μείζονι καὶ ἐλάσσονι πόλει·
2 καὶ τὸ πλῆθος ἐψηφίσαντο πολεμεῖν. δεδογμένον
δὲ αὐτοῖς εὐθὺς μὲν ἀδύνατα ἦν ἐπιχειρεῖν, ἀπα-
ρασκεύοις οὖσιν, ἐκπορίζεσθαι δὲ ἐδόκει ἑκάστοις
ἃ πρόςφορα ἦν, καὶ μὴ εἶναι μέλλησιν· ὅμως
δὲ καθισταμένοις ὧν ἔδει ἐνιαυτὸς μὲν οὐ διε-
τρίβη, ἔλασσον δέ, πρὶν ἐςβαλεῖν ἐς τὴν Ἀττικὴν
καὶ τὸν πόλεμον ἄρασθαι φανερῶς.

ψηφίζονται πολεμεῖν, παρασκευαζομένοις δὲ χρόνος τις διατρίβεται.

1 126. Ἐν τούτῳ δὲ ἐπρεσβεύοντο τῷ χρόνῳ
πρὸς τοὺς Ἀθηναίους ἐγκλήματα ποιούμενοι,
ὅπως σφίσιν ὅ τι μεγίστη πρόφασις εἴη τοῦ πο-
2 λεμεῖν, ἢν μή τι ἐςακούωσι. καὶ πρῶτον μὲν
πρέσβεις πέμψαντες οἱ Λακεδαιμόνιοι ἐκέλευον
τοὺς Ἀθηναίους τὸ ἄγος ἐλαύνειν τῆς θεοῦ· τὸ δὲ
3 ἄγος ἦν τοιόνδε. Κύλων ἦν Ὀλυμπιονίκης, ἀνὴρ Ἀθη-
ναῖος τῶν πάλαι εὐγενής τε καὶ δυνατός, ἐγεγαμή-
κει δὲ θυγατέρα Θεαγένους, Μεγαρέως ἀνδρός, ὃς
κατ' ἐκεῖνον τὸν χρόνον ἐτυράννει Μεγάρων.

ἐν τούτῳ δὲ ἐγκλήματα ποιοῦνται ἀλλήλων ἑκάτεροι προφάσεις ζητοῦντες τοῦ πολεμεῖν. καὶ πρῶτον μὲν ἄγη τινὰ ὀνειδίζουσιν ἀλλήλοις. α) τὸ Κυλώνειον ἄγος δηλοῦται.

et Bernh. Synt. p. 222. — ψῆφον ἐπήγαγον. Cf. adn. 87, 4. — τὸ πλῆθος, maior pars. Erat autem scriptum in foedere „κύριον εἶναι ὅ τι ἂν τὸ πλῆθος τῶν ξυμμάχων ψηφίσηται. V, 30.“ ARN. De plurali cf. 20, 2.

§. 2. Δεδογμένον. Cf. Matth. Gr. §. 564. Rost. §. 131. 5. — ὅμως δέ cet. Haec demum, non superiora ἐκπορίζεσθαι δὲ ... μέλλησιν, contraria videntur esse membro εὐθὺς μὲν ... οὖσιν, quum ἔλασσον δέ, non οὐ πολλῷ ἔλασσον δέ legatur. Cf. ed. mai.

Cap. CXXVI. §. 1. Ἣν ... ἐςακούωσι. Cf. adn. 58, 1.

§. 2. Πρῶτον μέν. Quid postea postulaverint, 139, 1. cognoscemus. — τὸ ἄγος ἐλαύνειν τῆς θεοῦ] „τοὺς τὸ ἄγος δράσαντας ... τῆς Ἀθηνᾶς.“ Schol. Similiter piaculum exigere Iust. VIII, 2. Cf. c. 127. 128. Ἐλαύνειν pro ἐξελ. etiam §. 12.

§. 3. Κύλων. Cf. Herod. V, 71. Plut. Sol. c. 12. al. in ed. mai. cit. „Turbae Cylonis cadunt in Ol. XLII. [a. 1. a. Chr. 612. vid. Wachsm. Ant. Gr. I. 2. p. 464.]; victoriam reportaverat Ol. XXX. Disputavit de his Corsin. F. A. III. p. 64. 72.“ GOELL. Narrationis, quae sequitur, perspicuitatem veteres rhetores et grammatici admirantur. Cf. Schol. — Θεαγένους. De hoc vid. Aristot. Polit. V, 4. Paus. I, 40, 1. 41, 2. Muell. Dor. I. p. 169. Wachsm. Ant. I. 1. p. 275. — κατ' ἐκεῖνον τὸν χρόνον. Circiter ab Ol. XL, 1. a. Chr. 620. Cf. Muell. et Wachsm.

χρωμένῳ δὲ τῷ **Κύλωνι** ἐν Δελφοῖς ἀνεῖλεν ὁ 5
θεὸς ἐν τῇ τοῦ Διὸς τῇ μεγίστῃ ἑορτῇ καταλα-
βεῖν τὴν Ἀθηναίων ἀκρόπολιν. ὁ δὲ παρά τε
τοῦ Θεαγένους δύναμιν λαβὼν καὶ τοὺς φίλους
ἀναπείσας, ἐπειδὴ ἐπῆλθον Ὀλύμπια τὰ ἐν Πελο-
πονήσῳ, κατέλαβε τὴν ἀκρόπολιν ὡς ἐπὶ τυραν-
νίδι, νομίσας ἑορτήν τε τοῦ Διὸς μεγίστην εἶναι
καὶ ἑαυτῷ τι προσήκειν Ὀλύμπια νενικηκότι. εἰ 6
δὲ ἐν τῇ Ἀττικῇ ἢ ἄλλοθί που ἡ μεγίστη ἑορτὴ
εἴρητο, οὔτε ἐκεῖνος ἔτι κατενόησε, τό τε μαν-
τεῖον οὐκ ἐδήλου· (ἔστι γὰρ καὶ Ἀθηναίοις Διά-
σια, ἃ καλεῖται Διὸς ἑορτὴ Μειλιχίου μεγίστη,
ἔξω τῆς πόλεως, ἐν ᾗ πανδημεὶ θύουσι, πολλοὶ
οὐχ ἱερεῖα, ἀλλὰ θύματα ἐπιχώρια·) δοκῶν δὲ

Cap. CXXVI. §, 4. *Τῇ τοῦ Διός.* Cf. adn.

§. 5. *Ἐπῆλθον* Cass. Aug. Cl. Ven. Vat. H. G. T. Vind. Mosqu. Vulgo et Bekk. *ἐπῆλθεν.* At V, 75. *Κάρνεια ἐτύγχανον* (unus E. *ἐτύγχανεν*) *ὄντα.* Minus certum exemplum *ἐπηγγέλθησαν* (de Isthmiis) VIII, 10. Alia praeter legitima IV, 88. et VII. 57. extr. sunt V, 26. VI, 62. et paulo magis dubium II, 8. Ceterum cf. Matth. Gr. §. 300. Rost. §. 100. adn. 5. Kuehn. §. 424. adn. 2. b. et de Xenophonte nos ad Anab. I, 2, 23. et Kuehn. ad Comm. IV, 3, 12.

§. 4. *Τῇ τοῦ Διὸς τῇ μεγίστῃ.* Prior articulus a deterioribus libris mss. abest; vide tamen Matth. Gr. §. 277. a. cf. §. 279. adn. 3. et Rost. §. 98. adn. 1.

§. 5. *Ὀλύμπια νενικηκότι.* Cf. Matth. Gr. §. 409. Rost. §. 104. 3. b.

§. 6. *Ἄλλοθί που.* Ut in Macedonia, ubi item agebantur. Cf. Wessel. ad Diod. XVI, 55. et Voemel. ad Demosth. orat. de rep. hab. — *οὔτε ... τὲ ... οὐκ.* Cf. Matth. Gr. §. 609. 1. c. *γ'.* et adn. c. 23. *Ἔτι* significatne ad illud usque tempus, an legendum est *τί,* ulla ex parte? — *Διάσια.* „Meminit huius *ἑορτῆς* Aristoph. *Νεφ.* v. 407. et v. 862. Cf. eius Schol. et Hesych. [et Bekk. Anecd. I. p. 91.] Celebrati sunt hi dies festi *μηνός Ἀνθεστηριῶνος φθίνοντος.*“ GOTTL. Cf. Hemsterh. ad Luci. Tim. c. 7. et Clint. Fast. Hell. p. 354. sq. — *Διὸς ... Μειλιχίου.* Eius crebram esse apud veteres mentionem ex Schol. Aristoph. Suid. al. docet Duk. Add. ad Xen. Anab. VII, 8, 4. — *ἐν ᾗ ... ἐπιχώρια,* quo die omnis civitas sacrificant, multi non victimas, sed liba apud eos usitata. Neque enim omnes hostiarum immolatione die festo Iovis Milichii abstinuisse existimandi sunt. Cf. Aristoph. Nub. v. 407. Xen. Anab. l. d. Suid. in *Διὸς κώδιον* et ed. mai. *Θύματα* Scholiastes *τινὰ πέμματα εἰς ζώων μορφὰς τετυπωμένα* interpretatur. Ea solo nomine *θύματα* significari posse negans Burgess. non attendit additum *ἐπιχώρια.* Ceterum cf. Schneid. ad Xen. l. d. et hic Arn. et Bloomf., qui tamen vocis Ionicum quendam usum statuens neglexit Sophoclis *θύματα πάγκαρπα* El. 634.

7 ὀρθῶς γιγνώσκειν ἐπεχείρησε τῷ ἔργῳ. οἱ δ'
Ἀθηναῖοι αἰσθόμενοι ἐβοήθησάν τε πανδημεὶ ἐκ
τῶν ἀγρῶν ἐπ' αὐτούς, καὶ προσκαθεζόμενοι
8 ἐπολιόρκουν. χρόνου δὲ ἐπιγιγνομένου οἱ Ἀθη-
ναῖοι τρυχόμενοι τῇ προσεδρείᾳ ἀπῆλθον οἱ πολ-
λοί, ἐπιτρέψαντες τοῖς ἐννέα ἄρχουσι τὴν φυλα-
κὴν καὶ τὸ πᾶν αὐτοκράτορσι διαθεῖναι, ᾗ ἂν
ἄριστα διαγιγνώσκωσι. (τότε δὲ τὰ πολλὰ τῶν
9 πολιτικῶν οἱ ἐννέα ἄρχοντες ἔπρασσον.) οἱ δὲ
μετὰ τοῦ **Κύλωνος** πολιορκούμενοι φλαύρως εἶχον
10 σίτου τε καὶ ὕδατος ἀπορίᾳ. ὁ μὲν οὖν **Κύλων**
καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐκδιδράσκουσιν· οἱ δ' ἄλλοι
ὡς ἐπιέζοντο, καί τινες καὶ ἀπέθνησκον ὑπὸ τοῦ
λιμοῦ, καθίζουσιν ἐπὶ τὸν βωμὸν ἱκέται τὸν ἐν
Cap. LXXVI. §. 1. Ἐςέβαλλον Bekk. ex Ven. Gr. Laur. E. Vind. Ar. Chr. Suid. in ἐνείλλοντες. Quod tempus reliquae narrationi convenientius est quam vulg. ἐςέβαλον; nam paulo alia videtur ratio aoristi ἐπέσχον.

Cap. LXXVI. §. 1. Ἐν ταρσοῖς καλάμου] „ἐν πλέγμασιν ἀπὸ καλάμου πεποιημένοις.“ Schol. Κάλαμον esse arundinem donacem, nunc κάλαμο, qua planta adhuc ad opus vimineum contexendum saepe utantur, ex Sibthorpii commentariis docet Arn. Cf. Billerb. Flor. class. p. 25. — ἐνείλλοντες] „ἐμπλέκοντες.“ Schol. Imprimentes, infercientes. De forma verbi cf. Lob. ad Phryn. p. 30. Si solum dativum, qui sane multo usitatior est apud ἐνειλεῖν, vel εἰς collocandum fuisse putes, perfecti certe ἐνειλῆσθαι cum ἐν iuncti exempla scito exstare. Cf. Steph. Thes. Forsitan vero verba rectius sic iunxeris, ἐν ταρσοῖς καλάμου πηλὸν ἐςέβαλλον ἐς τὸ διῃρ., ἐνείλλοντες (αὐτὸν ἐκείνοις); nam perfecti statum permanentem significantis sane alia ratio est. Cf. adn. IV, 14. VII, 87. — ἐς τὸ διῃρημένον. A Suida in v. ἐνείλλοντες explicationis causa adduntur verba τοῦ τείχους, in cod. F. τοῦ χώματος. Illa superioribus, haec sententiae videntur congruentiora. Interpretare omnino in foramen factum vel exortum. — διαχεόμενον. Malo διαχεόμενος (ὁ πηλός); nam quominus ad χῶμα, ut 75, 2., referatur, obstat addita comparatio. Alias vulgatae excusationes quaere in ed. mai.

§. 2. Τοῦτο ... ἐπέσχον. Similiter cum accus. V, 46. 63. VII, 33., contra cum genit. VIII, 31. Cf. etiam adn. II, 81, 4. — ὑπόνομον ... ὀρύξαντες, cuniculos agentes. — καὶ ξυντεκμηράμενοι ὑπὸ τὸ χῶμα, eosque coniectura sub aggerem dirigentes, Port. Cf. adn. 4, 3. Verba ὑπὸ

αὖθις παρὰ σφᾶς τὸν χοῦν· καὶ ἐλάνθανον ἐπὶ
πολὺ τοὺς ἔξω, ὥστ᾽ ἐπιβάλλοντας ἧσσον ἀνύ-
τειν, ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ χώματος
καὶ ἱζάνοντος ἀεὶ ἐπὶ τὸ κενούμενον. δεδιότες δὲ, 3
μὴ οὐδ᾽ οὕτω δύνωνται ὀλίγοι πρὸς πολλοὺς
ἀντέχειν, προσεπεξεῦρον τόδε· τὸ μὲν μέγα οἰ-
κοδόμημα ἐπαύσαντο ἐργαζόμενοι τὸ κατὰ τὸ
χῶμα, ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ ἀρξάμενοι ἀπὸ
τοῦ βραχέος τείχους ἐκ τοῦ ἐντὸς μηνοειδὲς ἐς
τὴν πόλιν προσῳκοδόμουν, ὅπως, εἰ τὸ μέγα
τεῖχος ἁλίσκοιτο, τοῦτ᾽ ἀντέχοι, καὶ δέοι τοὺς
ἐναντίους αὖθις πρὸς αὐτὸ χοῦν, καὶ προχωροῦν-
τας εἴσω διπλάσιόν τε πόνον ἔχειν, καὶ ἐν ἀμ-
φιβόλῳ μᾶλλον γίγνεσθαι. ἅμα δὲ τῇ χώσει καὶ 4
μηχανὰς προσῆγον τῇ πόλει οἱ Πελοποννήσιοι,
μίαν μέν, ἣ τοῦ μεγάλου οἰκοδομήματος, κατὰ
τὸ χῶμα προσαχθεῖσα, ἐπὶ μέγα τε κατέσεισε

τὸ χῶμα cum ὀρύξαντες coniungenda esse ex aliorum quidem scriptorum dicendi generibus similibus nonnullis, quae vide in ed. mai., Bloomf. suspicatus est; sed ei explanationi et καί repugnat, et fortasse ξύν; nam id videtur valere ξὺν τῷ ὀρύσσειν. — ὑφεῖλκον ... τὸν χοῦν. Χοῦς est quidem humus aggesta; vid. Gail., qui χῶμα recte discernit; sed quum Lat. agger ambobus Graecis vocabulis respondeat, aggerem cuniculis subtrahebant dixit Caes. Bell. Gall. VII, 22. — ἱζάνοντος ... κενούμενον, et (quum) in partem, quae excavabatur, semper sideret seu subsideret. De verbo ἱζάνειν fallitur Buttm. in Ind. verb. anom. Vid. ed. mai.

§. 3. Προσεπεξεῦρον τόδε, praeterea hoc quoque excogitarunt. — τὸ μέγα οἰκοδόμημα. Τὸ ξύλινον τεῖχος 75, 4. — αὐτοῦ, i. e. τοῦ μεγάλου οἰκοδομήματος. De genitivo hoc et de altero τείχους §. 4. cf. Rost. Gr. §. 108. 2. h. — ἀπὸ τοῦ βραχέος τείχους. „Βραχὺ τεῖχος τὸ ἀρχαῖον, ᾧ οὐ προσῳκοδόμησαν τὸ ξύλινον.“ ΔΟΥΚΑΣ. Est igitur humilior murus. Cf. VII, 29. et adn. I, 14, 3. — ἐκ τοῦ ἐντός, introrsus. De praep. ἐκ vid. adn. I, 64, 1., de ἐντός iuncto cum verbis ἐς τὴν πόλιν adn. I, 133. — ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι] „ἀντὶ τοῦ ἑκατέρωθεν βάλλεσθαι.“ Schol. Cf. IV, 32. 36. et de re praeter alios Appi. Mithr. c. 37.

§. 4. Μηχανάς. Arietes maxime intelligi apparet ex iis, quae sequuntur. Cf. adn. I, 117, 3. — τοῦ μεγάλου οἰκοδομήματος ... ἐπὶ μέγα. Haec inter se iungenda. Cf. adn. I, 118, 2. et, ut formulam ἐπὶ μέγα etiam subiecti et obiecti, quae vocantur, locum tenere cognoscas, IV, 100, 2. et de similibus ἐπὶ πολύ adn. I, 1, 2. — κατέσεισε. Dubitatur, utrum sit decussit, an

καὶ τοὺς Πλαταιέας ἐφόβησεν, ἄλλας δὲ ἄλλῃ
τοῦ τείχους, ἃς βρόχους τε περιβάλλοντες ἀνέ-
κλων οἱ Πλαταιῆς, καὶ δοκοὺς μεγάλας ἀρτή-
σαντες ἁλύσεσι μακραῖς σιδηραῖς ἀπὸ τῆς τομῆς
ἑκατέρωθεν, ἀπὸ κεραιῶν δύο ἐπικεκλιμένων
καὶ ὑπερτεινουσῶν ὑπὲρ τοῦ τείχους ἀνελκύσαντες
ἐγκαρσίας, ὁπότε προσπεσεῖσθαί πῃ μέλλοι ἡ
μηχανή, ἀφίεσαν τὴν δοκὸν χαλαραῖς ταῖς ἁλύ-
σεσι καὶ οὐ διὰ χειρὸς ἔχοντες· ἡ δὲ ῥύμη ἐμπί-
πτουσα ἀπεκαύλιζε τὸ προέχον τῆς ἐμβολῆς.
1 77. Μετὰ δὲ τοῦτο οἱ Πελοποννήσιοι, ὡς αἵ

οἱ Πελοποννήσιοι τὴν

concussit, quassavit. Nobis hoc placet, quod Arri. Anab. I, 19, 3. a v. καταβάλλειν discernit. — ἄλλας δέ. Suppl. προσῆγον. — ἄλλῃ τοῦ τείχους. Non in aggere, sed in plano. — βρόχους ... περιβάλλοντες. „Haec erat usitata apud veteres ratio eludendi ictus arietis. Vid. [interpr. Liv. XXXVI, 23., ubi leguntur verba laqueis exceptos declinabant ictus, et] Lips. V. Poliorcet. 8. Ubi etiam de trabibus et saxis in eum coniiciendis plura legi possunt, nec non apud Casaub. ad Aene. Poliorc. c. 32. De structuris lunatis Lips. ibid.“ DUK. „Veget. de Re milit. IV, 23: laqueis captos arietes in obliquum trahunt.“ ARN. — ἀνέκλων. Hoc verbum significare sursum attollendo convellere, sursum trahendo avertere, demonstravit Duk. ad VII, 25. — ἀρτήσαντες ... ἀπὸ τῆς τομῆς ἑκατέρωθεν, quum ... suspendissent ab utraque parte extrema. Τομήν hic rara vi positum declarare locum seu partem, ubi trabs ab arbore fuerit abscisa, docet Bloomf. Cf. adn. I, 93, 5. Praepositio ἀπό autem ex verbo ἀρτ. pendet. — ἀπὸ κεραιῶν ... τείχους. Ἀπό hic de instrumento dictum est, ut alibi (cf. adn. 77, 1.), et iungendum videtur cum v. ἀνελκύσαντες. Κεραίας ὑπὲρ τοῦ τείχους ὑπερτεινούσας tollenones super murum eminentes vocat Liv. XXIV, 34. De voce κεραία cf. IV, 100. VII, 41.; de tollenone etiam apud Polyb. legitur. Ὑπερτείνειν hic intransitivum est, ut παρατείνειν IV, 8. Cf. Rost. Gr. §. 115. 1. — ἀνελκύσαντες, sursum trahentes. — χαλαραῖς ... ἔχοντες, laxatis catenis atque e manu remissis, Port. Ad part. ἔχοντες igitur suppl. αὐτάς. — ἀπεκαύλιζε] „ἀπέτεμε“ (? ἀπέτεμνε ?). Schol. Cf. Bloomf. — τὸ προέχον τῆς ἐμβολῆς. Suid. ἐμβολή· τὸ ἄκρον τοῦ κριοῦ τοῦ μηχανικοῦ. Similiter idem vocabulum de prominenti parte navis sive de rostro dicitur. Cf. Steph. Thes. III. p. 818. Hic ἡ ἐμβολή quum habeat partem, quae τὸ προέχον vocatur, dubites, utrum sit caput arietis, an aries ipse. Hoc interpretes Germanici, Britannici, Gallici certatim amplexi sunt, illud tamen grammaticorum explicatione et reliquo usu vocabuli confirmatur. Cf. Procop. p. 198. ἡ ἐμβολὴ προὔχουσα, ubi alia quoque ex hoc loco petita sunt, et Steph. Thes. l. d.

πόλιν ἐπιφλέξαι μάτην πειρῶνται.

τε μηχαναὶ οὐδὲν ὠφέλουν, καὶ τῷ χώματι τὸ
ἀντιτείχισμα ἐγίγνετο, νομίσαντες ἄπορον εἶναι
ἀπὸ τῶν παρόντων δεινῶν ἑλεῖν τὴν πόλιν πρὸς
τὴν περιτείχισιν παρεσκευάζοντο. πρότερον δὲ 2
πυρὶ ἔδοξεν αὐτοῖς πειρᾶσαι, εἰ δύναιντο, πνεύ-
ματος γενομένου, ἐπιφλέξαι τὴν πόλιν οὖσαν οὐ
μεγάλην· πᾶσαν γὰρ δὴ ἰδέαν ἐπενόουν, εἴ πως
σφίσιν ἄνευ δαπάνης καὶ πολιορκίας προςαχθείη.
φοροῦντες δὲ ὕλης φακέλλους παρέβαλλον ἀπὸ 3
τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους
καὶ τῆς προςχώσεως· ταχὺ δὲ πλήρους γενομένου
διὰ πολυχειρίαν, ἐπιπαρένησαν καὶ τῆς ἄλλης
πόλεως ὅσον ἐδύναντο ἀπὸ τοῦ μετεώρου πλεῖ-

Cap. LXXVII. §. 1. Τὸ ἀντιτείχισμα. Τὸ μηνοειδὲς τεῖχος 76, 3. — ἀπὸ τῶν παρόντων δεινῶν, praesentibus terroribus, Port. Ἀπό utrum interpretere bei (cf. adn. I, 91, 7.) an vermittelst, in Folge, (cf. Matth. Gr. §. 396. 2. adn. 2. VI, 19. VII, 29. al.), non multum refert. Cf. VI, 102. ἀπὸ τῆς παρούσης ... δυνάμεως et de v. δεινά Bloomf. Hoc igitur non delendum, etsi formula ἀπὸ τῶν παρόντων legitur VII, 56. et similes ἀπὸ τῶν ὑπαρχόντων et ἐκ τῶν παρόντων alibi. — περιτείχισιν. Cf. adn. 75, 1.

§. 2. Οὐ μεγάλην. De ambitu cf. disputantem Muenscherum l. d. p. 3. Recentiorem quidem urbem satis magnam fuisse ex ruinis apparere dicit Leak. Graec. sept. II. p. 36. Neque vero iccirco οὐ secundum Aug. E. Ar. expungendum; nam quia urbs non magna erat, se eam combusturos esse Peloponnesii poterant sperare. — πᾶσαν ... ἰδέαν ἐπενόουν. Cf. adn. 19, 1. et de proximo εἰ Matth. Gr. §. 526. — πολιορκίας. „Hic [ut Appi. Mithr. c. 37.] πολιορκία ponitur εἰδικῶς pro ea specie πολιορκίας, quae mora et temporis tractu peragitur.“ HUDS. Est igitur χρόνιος πολιορκία (cf. Schweb. ad Onos. p. 117.) sive obsidio. — προςαχθείη. Cf. adn. 30, 2.

§. 3. Ὕλης. Cf. adn. 75, 2. — φακέλλους. De hac voce, quae interdum etiam cum simplici λ scribitur, cf. interpr. Moer. p. 393. sqq. et hic Wass. et Gottl. — παρέβαλλον. Sonare altera iuxta altera iacere docet Arn. Cf. VI, 99. — ἐς τὸ μεταξὺ ... προςχώσεως, in id intervallum, quod inter murum et aggerem relictum erat. Cf. adn. c. 75. extr. — ἐπιπαρένησαν. Suppl. ὕλης φακέλλους. Dobraeus non in ipsam urbem hos fasciculos iniectos, sed prope muros struem factam esse existimat, comparans παροικοδομεῖν c. 75. et παρακαταπηγνύναι IV, 90. Sed quid ad hanc rem opus fuit τὸ μετέωρον? Ex praepositionibus duabus παρά, ut in superiore παραβάλλειν dicta est, „ἡ δὲ ἐπί τὸ μετὰ τὴν πρώτην ὕλην καὶ ἑτέραν αὖθις ἐπιθεῖναι σημαίνει.“ ΔΟΥΚΑΣ. De v. νῆσαι cf. adn. c. 52. extr. — τῆς ἄλλης πόλεως. „Quasi etiam murus, quem iam antea attigerant, pars sit urbis.“ HAACK. Cf. etiam adn. 14, 1. Intelligen-

4 στον ἐπισχεῖν. ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ καὶ
πίσσῃ ἧψαν τὴν ὕλην. καὶ ἐγένετο φλὸξ τοσαύ-
τη, ὅσην οὐδείς πω ἔς γε ἐκεῖνον τὸν χρόνον
χειροποίητον εἶδεν· ἤδη γὰρ ἐν ὄρεσιν ὕλη τρι-
φθεῖσα ὑπ' ἀνέμων πρὸς αὐτὴν ἀπὸ ταὐτομάτου
5 πῦρ καὶ φλόγα ἀπ' αὐτοῦ ἀνῆκε· τοῦτο δὲ μέγα
τε ἦν, καὶ τοὺς Πλαταιέας τἆλλα διαφυγόντας
ἐλαχίστου ἐδέησε διαφθεῖραι· ἐντὸς γὰρ πολλοῦ
χωρίου τῆς πόλεως οὐκ ἦν πελάσαι, πνεῦμά τε
εἰ ἐπεγένετο αὐτῇ ἐπίφορον, ὅπερ καὶ ἤλπιζον
6 οἱ ἐναντίοι, οὐκ ἂν διέφυγον. νῦν δὲ καὶ τόδε
λέγεται ξυμβῆναι, ὕδωρ ἐξ οὐρανοῦ πολὺ καὶ
βροντὰς γενομένας σβέσαι τὴν φλόγα καὶ οὕτω
παυθῆναι τὸν κίνδυνον.

1 78. Οἱ δὲ Πελοποννήσιοι ἐπειδὴ καὶ τούτου
διήμαρτον, μέρος μέν τι καταλιπόντες τοῦ στρα-

ἔπειτα δὲ τὴν πόλιν περιτειχίζουσιν.

Cap. LXXVIII. §. 1. Στρατοπέδου. Sequuntur vulgo verba τὸ δὲ λοιπὸν ἀφέντες, quae in Aug. Cl. Ven. It. Vat. H. Mosqu. Ar. Chr. Dan. omissa Bekk. uncis circumscripsit, nos delevimus. Cf. ed. mai.

dum est autem maxime pomoerium interius atque ex eo praecipue id spatium, quod fuit inter murum vetustiorem et lunarem. — ἐπισχεῖν, occupare, i. e. assequi.

§. 4. Ἤδη γὰρ ἐν ὄρεσιν... „Ὡς εἰ ἔλεγε· χειροποίητον εἶπον, ὅτι ἐν ὄρεσι κ. τ. λ.“ ΔΟΥΚΑΣ. — ὕλη ... πρὸς αὐτήν. De re cf. Lucret. I, 896. et Suid. in δρυμός. Flexionis τριφθῆναι alia exempla vid. in ed. mai. — ἀπ' αὐτοῦ, i. e. ἀπὸ τοῦ τρίβεσθαι, τῷ τρίβεσθαι.

§. 5. Ἐλαχίστου ἐδέησε διαφθεῖραι. Errat Matth. Gr. §. 297. p. 757. et §. 534. a.; nam nominativus est τοῦτο (τὸ πῦρ). Bene Vig. p. 204. — ἐντός. Citra interpretatur Dobr., sed est potius intra. Ex hoc pendent verba πολλοῦ χωρίου τῆς πόλεως. De v. χωρίον cf. adn. I, 63, 1. — πνεῦμα ... ἐπίφορον. Cf. III, 74. εἰ ἄνεμος ἐπεγένετο τῇ φλογὶ ἐπίφορος ἐς αὐτήν. — αὐτῇ] τῇ φλογί.

§. 6. Νῦν δέ. Cf. Matth. Gr. §. 606. — τόδε. Hoc explicatur verbis ὕδωρ ... κίνδυνον. — ὕδωρ ἐξ οὐρανοῦ. Ita etiam alii scriptores de pluvia, ut Xen. Anab. IV, 2, 2. Aqua coelestis Hor. Od. III, 10, 30. — παυθῆναι. Cf. adn. I, 81, 6.

Cap. LXXVIII. §. 1. Μέρος μέν τι καταλιπόντες. Quid reliquo exercitu fecerint, non dicitur. Dimissum eum tunc nondum esse ex §. 2. liquet; sed videtur ab oppido obsesso abductus vel per finitimas Boeotiae regiones dispositus esse, quo facilius aleretur, vel alio in loco consti-

ἀριθμὸς τῶν ἐνόντων.

τοπέδου περιετείχιζον τὴν πόλιν κύκλῳ, διελόμενοι κατὰ πόλεις τὸ χωρίον· τάφρος δὲ ἐντός τε ἦν καὶ ἔξωθεν, ἐξ ἧς ἐπλινθεύσαντο. καὶ ἐπειδὴ
2 πᾶν ἐξείργαστο περὶ ἀρκτούρου ἐπιτολάς, καταλιπόντες φύλακας τοῦ ἡμίσεος τείχους (τὸ δὲ ἥμισυ Βοιωτοὶ ἐφύλασσον) ἀνεχώρησαν τῷ στρατῷ καὶ διελύθησαν κατὰ πόλεις. Πλαταιῆς δὲ
3 παῖδας μὲν καὶ γυναῖκας καὶ τοὺς πρεσβυτάτους τε καὶ πλῆθος τὸ ἄχρηστον τῶν ἀνθρώπων πρότερον ἐκκεκομισμένοι ἦσαν ἐς τὰς Ἀθήνας· αὐτοὶ δ᾽ ἐπολιορκοῦντο ἐγκαταλελειμμένοι τετρακόσιοι, Ἀθηναίων δὲ ὀγδοήκοντα, γυναῖκες δὲ δέκα καὶ ἑκατὸν σιτοποιοί. τοσοῦτοι ἦσαν οἱ ξύμ-
4 παντες, ὅτε ἐς τὴν πολιορκίαν καθίσταντο, καὶ ἄλλος οὐδεὶς ἦν ἐν τῷ τείχει, οὔτε δοῦλος οὔτε ἐλεύθερος. τοιαύτη μὲν ἡ Πλαταιῶν πολιορκία κατεσκευάσθη.

§. 3. Ἄχρηστον Cass. Aug. Cl. Ven. C. F. Pal. It. Vat. Reg. Gr. al. Vulgo et Bekk. ἀχρεῖον. Quod defendit Bloomf., quia Thucydides de turba inutili ad bellum constanter hac forma utatur, ut II, 6. 40. al. Sed quum ipsum vocabulum ἄχρηστος etiam VI, 16. apud eum exstet, et idem de militibus Xen. Anab. III, 4, 26. et alibi legatur, meliorum librorum consensui obtemperandum fuit.

tisse, ubi eos, qui ad Plataeas relicti erant, ab Atheniensium impetu, si quem facerent, defenderet. De μέν solitario cf. adn. 65, 12. — περιετείχιζον ... κύκλῳ. Hanc circummunitionem III, 21. accuratius cognoscimus. — διελόμενοι ... τὸ χωρίον, spatio inter singulas civitates diviso. Cf. IV, 69. V, 75. VII, 19. — ἐντός τε ... καὶ ἔξωθεν. Suppl. τοῦ περιτειχιζομένου χωρίου. Ἐντός, i. e. inter munitionem et urbem. Cf. III, 22.

§. 2. Περὶ ἀρκτούρου ἐπιτολάς. Arcturum constat esse stellam maximam in signo Bootis. Ἐπιτολή, quae ab ἀνατολῇ, ortu quotidiano, discernitur (cf. Phryn. p. 124. sq. et ibi Lob.), eum significat ortum, quo stella primum rursus in conspectum venit, postquam per aliquod tempus solis radiis pressa est. Cf. Idel. Chronol. I. p. 50—53. Hic autem designatur ἐπιτολή Arcturi ἑῴα („der heliakische Aufgang" Idel. p. 53.) circa aequinoctium auctumnale. „Incidebat ortus iste in Boedromionem Theophr. Hist. plant. IV, 12., secundum fastos Iulianos in d. 12. vel 17. Septembr. Plin. H. N. II, 47. Columell. IX, 2. [13. Septembr. Dodw., 18. Septembr. Idel. I. p. 247., 19. Septembr. Bloomf.]" BRED. post I. Fr. Pfaff. de Ortib. et Occas. Sider.

§. 3. Ἐκκεκομισμένοι ἦσαν. De re vid. 6, 4., de verbo Matth. Gr. §. 493. Rost. §. 114. 2. — τετρακόσιοι. Hinc, quantus fuerit omnium Plataeensium numerus, colligere studet Muensch. de Reb. Plat. p. 11. sq. — γυναῖκες ... σιτοποιοί. „Tangit morem Graecorum, apud quos hoc mulierum munus erat, ut fruges pinserent, panem coquerent, et alia ad victum pertinentia pararent." DUK., apud quem et Bloomf. vide plura. Infra tamen VI, 22. commemorantur mares σιτοποιοί e pistrinis arcessendi, ubi ipsum vocabulum etiam apud Theophrastum et alios Atticos legi contra Thomam Mag. ἀρτοπόπον κάλλιον esse pronunciantem docet Duk.

Ἀθηναίων ἐπὶ Χαλκιδέας καὶ Βοττιαίους στρατευσάντων ἧσσα ἐπὶ Σπαρτώλῳ.

1 79. Τοῦ δ᾽ αὐτοῦ θέρους καὶ ἅμα τῇ τῶν Πλαταιῶν ἐπιστρατείᾳ Ἀθηναῖοι δισχιλίοις ὁπλίταις ἑαυτῶν καὶ ἱππεῦσι διακοσίοις ἐστράτευσαν ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης καὶ Βοττιαίους, ἀκμάζοντος τοῦ σίτου· ἐστρατήγει δὲ Ξενοφῶν
2 ὁ Εὐριπίδου τρίτος αὐτός. ἐλθόντες δὲ ὑπὸ Σπάρτωλον τὴν Βοττικὴν τὸν σῖτον διέφθειραν. ἐδόκει δὲ καὶ προσχωρήσειν ἡ πόλις ὑπό τινων ἔνδοθεν πρασσόντων. προσπεμψάντων δὲ ἐς Ὄλυνθον τῶν οὐ ταῦτα βουλομένων, ὁπλῖταί τε ἦλθον καὶ στρατιὰ ἐς φυλακήν· ἧς ἐπεξελθούσης ἐκ τῆς Σπαρτώλου, ἐς μάχην καθίστανται οἱ
3 Ἀθηναῖοι πρὸς αὐτῇ τῇ πόλει. καὶ οἱ μὲν ὁπλῖται τῶν Χαλκιδέων καὶ ἐπίκουροί τινες μετ᾽ αὐτῶν νικῶνται ὑπὸ τῶν Ἀθηναίων καὶ ἀναχωροῦσιν ἐς τὴν Σπάρτωλον· οἱ δὲ ἱππῆς τῶν

Cap. LXXIX. §. 2. Διέφθειραν. Aug. Ven. C. F. Pal. Vat. H. G. cod. Bas. διέφθειρον, non deterius. Alterum tuetur Diod.

Cap. LXXIX. Cf. Diod. XII, 47. — §. 1. Τῇ τῶν Πλαταιῶν ἐπιστρατείᾳ. Cf. Matth. Gr. §. 367. Rost. §. 108. adn. 1. — δισχιλίοις. Mille sunt apud Diod. — ἀκμάζοντος τοῦ σίτου. Cf. adn. 19, 1. — τρίτος αὐτός. „Alter ex his duobus ducibus, qui cum hoc Xenophonte copias ducebant, vocabatur Calliades, de quo Plut. in Nic. [c. 6.]" PALMER. Tertium „Phanomachum nominat Diod." WASS.

§. 2. Ὑπὸ Σπάρτωλον. Hunc accentum huius nominis, quod interdum Σπαρτωλός pingi Duk. adnotat, tuetur Goettl. Doctr. accent. p. 190. Hanc urbem ab Olyntho in occasum spectasse ex V, 18. coniecit Gatterer. At ab Olyntho in septentrionem vergentem inter illam et Apolloniam sitam fuisse docet Leak. Graec. sept. III. p. 456. et 459. — ὑπό τινων ἔνδοθεν πρασσόντων, quorundam civium opera, qui hoc moliebantur. Ὑπό positum est ob vim passivam, quae latet in v. προσχωρεῖν (cf. Matth. Gr. §. 592. β΄.), de v. πράσσειν vid. Duk. ad IV, 132. — στρατιά. Hic alios milites, velites et pel-

Χαλκιδέων καὶ ψιλοὶ νικῶσι τοὺς τῶν Ἀθηναίων
ἱππέας καὶ ψιλούς. εἶχον δέ τινας οὐ πολλοὺς 4
πελταστὰς ἐκ τῆς Κρουσίδος γῆς καλουμένης.
ἄρτι δὲ τῆς μάχης γεγενημένης, ἐπιβοηθοῦσιν
ἄλλοι πελτασταὶ ἐκ τῆς Ὀλύνθου. καὶ οἱ ἐκ τῆς 5
Σπαρτώλου ψιλοὶ ὡς εἶδον, θαρσήσαντες τοῖς
τε προσγιγνομένοις καὶ ὅτι πρότερον οὐχ ἥσσῶν-
το, ἐπιτίθενται αὖθις μετὰ τῶν Χαλκιδέων
ἱππέων καὶ τῶν προσβοηθησάντων τοῖς Ἀθη-
ναίοις. καὶ ἀναχωροῦσι πρὸς τὰς δύο τάξεις, ἃς
κατέλιπον παρὰ τοῖς σκευοφόροις. καὶ ὁπότε μὲν 6
ἐπίοιεν οἱ Ἀθηναῖοι, ἐνεδίδοσαν, ἀποχωροῦσι
δὲ ἐνέκειντο καὶ ἐσηκόντιζον. οἵ τε ἱππῆς τῶν
Χαλκιδέων προσιππεύοντες, ᾗ δοκοῖ, προσέβαλλον,
καὶ οὐχ ἥκιστα φοβήσαντες ἔτρεψαν τοὺς Ἀθη-
ναίους καὶ ἐπεδίωξαν ἐπὶ πολύ. καὶ οἱ μὲν Ἀθη- 7
ναῖοι ἐς τὴν Ποτίδαιαν καταφεύγουσι, καὶ ὕστερον
τοὺς νεκροὺς ὑποσπόνδους κομισάμενοι ἐς τὰς
Ἀθήνας ἀναχωροῦσι τῷ περιόντι τοῦ στρατοῦ·
(ἀπέθανον δὲ αὐτῶν τριάκοντα καὶ τετρακόσιοι
καὶ οἱ στρατηγοὶ πάντες·) οἱ δὲ Χαλκιδῆς καὶ οἱ
Βοττιαῖοι τροπαῖόν τε ἔστησαν καὶ τοὺς νεκροὺς
τοὺς αὑτῶν ἀνελόμενοι διελύθησαν κατὰ πόλεις.

Αμπρακιῶται καὶ Χάονες

80. *Τοῦ δ' αὐτοῦ θέρους, οὐ πολλῷ ὕστερον* 1

§. 6. *Ἀποχωροῦσι.* Vat. II. *ἀναχωροῦσι*, quod locis simillimis III,. 97. IV, 32. VII, 79. commendatur; quum tamen iam bis in proximis adsit, tertium inferre ex paucis libris noluimus. Cf. tamen sd. c. 83. extr.

tastas, significet oportet. Cf. Bloomf.

§. 4. *Εἶχον.* Suppl. *οἱ Χαλκιδῆς*. Cf. ed. mai. — *πελταστάς.* Distinguuntur a *ψιλοῖς*, ut Xen. Anab. V, 2, 16. Ceterum cf. adn. 29, 5. — *Κρουσίδος.* Ab Herodot. VII, 123. Crossaea vocatur. Eius urbs est Gigonus I, 61, 5., ubi vid. adn.

§. 5. *Καὶ ἀναχωροῦσι*] „*οἱ Ἀθηναῖοι.*" Schol. Cf. ed. mai. Prol. 1. p. 283. sq.

§. 6. *Ἐνεδίδοσαν*] „*οἱ Χαλκιδεῖς δηλονότι καὶ οἱ Σπαρτώλιοι.*" Schol. — *ἐσηκόντιζον.* Erant igitur hi *ψιλοί* vel *πελτασταί* iaculis armati (*ἀκοντισταί*). — *ᾗ δοκοῖ.* Similiter *ὅπη δοκοῖ* 100, 5., ubi cf. adn. — *ἔτρεψαν τοὺς Ἀθηναίους.* Cf. Plut. Nic. l. d.

§. 7. *Τῷ περιόντι τοῦ στρατοῦ.* Cf. adn. I, 73, 5

τούτων Ἀμπρακιῶται καὶ Χάονες βουλόμενοι
Ἀκαρνανίαν πᾶσαν καταστρέψασθαι καὶ Ἀθη-
ναίων ἀποστῆσαι πείθουσι Λακεδαιμονίους ναυ-
τικόν τε παρασκευάσασθαι ἐκ τῆς ξυμμαχίδος
καὶ ὁπλίτας χιλίους πέμψαι ἐς Ἀκαρνανίαν, λέ-
γοντες, ὅτι, ἢν ναυσὶ καὶ πεζῷ ἅμα μετὰ σφῶν
ἔλθωσιν, ἀδυνάτων ὄντων ξυμβοηθεῖν τῶν ἀπὸ
θαλάσσης Ἀκαρνάνων, ῥᾳδίως ἂν Ἀκαρνανίαν
σχόντες καὶ τῆς Ζακύνθου καὶ Κεφαλληνίας κρα-
τήσουσι, καὶ ὁ περίπλους οὐκέτι ἔσοιτο Ἀθηναίοις
ὅμοιος περὶ Πελοπόννησον· ἐλπίδα δ' εἶναι καὶ
2 *Ναύπακτον λαβεῖν. οἱ δὲ Λακεδαιμόνιοι πεισθέν-*
τες Κνῆμον μὲν ναύαρχον ἔτι ὄντα καὶ τοὺς ὁ-

Κνῆμον Λακεδαιμόνιον καὶ ὅμορά τινα φῦλα μεταπεμψάμενοι στρατεύουσιν ἐπὶ Ἀκαρνανίαν. αἰτίαι ταύτης τῆς στρατείας, ἀριθμὸς τῶν στρατευομένων, πορεία ἐς Στράτον.

Cap. LXXX. §. 1. *Ἂν* om. Laur. E. m. Ar. Chr. Dan. Sed vid. adn.

Ὅμοιος. Aug. et Bekk. *ὁμοίως*. Cf. Krueg. in Seebod. Horreo III. 1. p. 535., sed etiam adn. et 84, 2. extr.

Cap. LXXX. Cf. Diod. XII, 47. — §. 1. *Ἀμπρακιῶται καὶ Χάονες.* Hos iam c. 68. cognovimus socios. — *τῆς ξυμμαχίδος.* Cf. adn. I, 110, 4. — *ναυσὶ ... σφῶν*, cum navibus simul et peditatu secum. — *ξυμβοηθεῖν ... Ἀκαρνάνων.* Per attractionem haec posita sunt pro verbis *ξυμβοηθεῖν ἀπὸ θαλάσσης τῶν ἐπὶ θαλάσσῃ Ἀκαρνάνων.* Cf. c. 83. init. V, 34. 65. VII, 63. VIII, 1. al. et de simili usu praep. *ἐκ* adn. I, 8. — *ῥᾳδίως ἂν ... κρατήσουσι.* *Ἂν* cum ipso futuro iungunt Matth. Gr. §. 599. d. et Hart. de Part. II. p. 283. (cf. Rost. Gr. §. 120. 6. c. β'.), cum participio *σχόντες*, ut videtur, Herm. de part. *ἄν* p. 32. et distinctius Klotz. in Adnot. ad Devar. I. p. 121. Hic participii *σχόντες* conditionem verbis *ἀδυνάτων ὄντων* contineri, et ea de causa *σχόντες ἄν* ut *εἰ σχοῖεν ἄν* (cf. Rost. Gr. §. 121. adn. 8.) scribi potuisse existimat. Quod fortasse, etsi enunciatum *ἀδυνάτων ὄντων ... Ἀκαρνάνων* ipsum ex conditione *ἢν ... ἔλθωσιν* suspensum est, non improbandum. Alii *ἄν* apud futurum hic levi anacolutho excusari putant; certe apud Thuc. cum indicativo futuri sine eiusmodi cautionibus iungi non videtur. Cf. sd. I, 140. Optativi futuri ita positi non prorsus certum exemplum legitur V, 94. Stabilitur tamen eo usu, qui est apud infinitivum et participium. Cf. adn. §. 8. — *ἔσοιτο.* Cf. Matth. Gr. §. 529. 5. p. 1225. Rost. §. 122. 7. VIII, 50. — *ὅμοιος.* Similis atque antea (cf. adn. I, 73, 5.), aeque liber. Cf. tamen sd. — *ἐλπίδα δ' εἶναι.* Cf. adn. I, 87, 4.

§. 2. *Ναύαρχον ἔτι ὄντα.* „Particula *ἔτι* [ad c. 66. respiciens] indicat munus nauarchi apud Lacedaemonios certo temporis spatio circumscriptum fuisse. Ex Emmii Republ. Lacon. in fine intelligi potest esse, qui ei annum

*πλίτας ἐπὶ ναυσὶν ὀλίγαις εὐθὺς πέμπουσι· τῷ
δὲ ναυτικῷ περιήγγειλαν παρασκευασαμένῳ ὡς
τάχιστα πλεῖν ἐς Λευκάδα. ἦσαν δὲ Κορίνθιοι* 3
*ξυμπροθυμούμενοι μάλιστα τοῖς Ἀμπρακιώταις,
ἀποίκοις οὖσι. καὶ τὸ μὲν ναυτικὸν ἔκ τε Κορίνθου
καὶ Σικυῶνος καὶ τῶν ταύτῃ χωρίων ἐν παρασκευῇ
ἦν· τὸ δ' ἐκ Λευκάδος καὶ Ἀνακτορίου καὶ Ἀμπρα-
κίας πρότερον ἀφικόμενον ἐν Λευκάδι περιέμενε.
Κνῆμος δὲ καὶ οἱ μετ' αὐτοῦ χίλιοι ὁπλῖται ἐπει-* 4
*δὴ ἐπεραιώθησαν λαθόντες Φορμίωνα, ὃς ἦρ-
χε τῶν εἴκοσι νεῶν τῶν Ἀττικῶν, αἳ περὶ Ναύ-
πακτον ἐφρούρουν, εὐθὺς παρεσκευάζοντο τὴν
κατὰ γῆν στρατείαν. καὶ αὐτῷ παρῆσαν Ἑλλήνων* 5
*μὲν Ἀμπρακιῶται καὶ Λευκάδιοι καὶ Ἀνακτόριοι
καὶ οὓς αὐτὸς ἔχων ἦλθε χίλιοι Πελοποννησίων,
βάρβαροι δὲ Χάονες χίλιοι ἀβασίλευτοι, ὧν ἡ-
γοῦντο ἐπ' ἐτησίῳ προστασίᾳ ἐκ τοῦ ἀρχικοῦ γέ-
νους Φώτιος καὶ Νικάνωρ. ἐστρατεύοντο δὲ με-*

§. 5. *Ἐπ' ἐτησίῳ προστασίᾳ.* Pro verbis *ἐπ' ἐτησίῳ* Lugd. et, si Gailii typothetis fides haberi potest, plerique Par. *ἐπετησίῳ*. Quod ob verba Dion. Cass. LII, 9. *προστατείαις ἐπετησίοις χρώμενοι* praeferendum videretur, nisi idem *προστατείας* nomen pro Thucydideo *προστασία*, pro quo in solis Laur. m. et fortasse E. alterum contra exempla II, 65. et VI, 89. legitur, substituisset. Doederleinius *ἐπετήσιον* anniversarium, *ἐτήσιον* annuum esse docens exemplis a Bloomf. et in Steph. Thes. vv. *ἐπετήσιος* et *ἐτήσιος* prolatis satis refellitur. Ipse Thuc. *ἐτησίους θυσίας*, sacrificia anniversaria, dixit V, 11.

Φώτιος. Aug. Pal. It. Vat. Reg. Bekk. *Φώτυος*. Quae nominis notissimi forma nobis incognita est. Cf. Bloomf.

praefiniant, de quo parum constare idem dicit.“ DUK. Plerumque quidem nauarchum per annum munere suo functum, sed id nonnunquam prorogatum esse docet Manso Spart. II. p. 382. Vide plura hac de re et de universo nauarchi munere in ed. mai. et apud Arn. — *ἐπὶ ναυσίν.* Similiter IV, 10. Cf. Elmsl. ad Eur. Heracl. v. 893. — *τῷ ναυτικῷ . . . παρασκευασαμένῳ.* „Naves usitata figura positae sunt pro nautis.“ BLOOMF.

§. 3. *Ἀποίκοις οὖσι.* Cf. Muell. Dor. I. p. 117. et Krus. Hell. II. 2. p. 322. — *ἐν παρασκευῇ ἦν*, i. e. *παρεσκευάζετο*. Cf. Vig. p. 608. et 101, 2.

§. 4. *Τῶν εἴκοσι νεῶν* cet. Cf. c. 69.

§. 5. *Ἐπ' ἐτησίῳ προστασίᾳ*, ea conditione, ut annuum imperium tenerent. Cf. Matth. Gr. §. 586. ε'. Nisi forte *ἐπετησίῳ* praestat. Cf. sd. — *ἐκ τοῦ ἀρχικοῦ γένους.*

6 *τὰ Χαόνων καὶ Θεσπρωτοὶ ἀβασίλευτοι. Μολοσ-
σοὺς δὲ ἦγε καὶ Ἀτιντᾶνας Σαβύλινθος ἐπίτρο-
πος ὢν Θαρύπου τοῦ βασιλέως, ἔτι παιδὸς ὄν-
τος, καὶ Παραυαίους Ὄροιδος βασιλεὺς ὤν. Ὀρέ-
σται δὲ χίλιοι, ὧν ἐβασίλευεν Ἀντίοχος, μετὰ
Παραυαίων ξυνεστρατεύοντο Ὀροίδῳ, Ἀντιόχου*
7 *ἐπιτρέψαντος. ἔπεμψε δὲ καὶ Περδίκκας κρύφα
τῶν Ἀθηναίων χιλίους Μακεδόνων, οἳ ὕστερον*
8 *ἦλθον. τούτῳ τῷ στρατῷ ἐπορεύετο Κνῆμος, οὐ
περιμείνας τὸ ἀπὸ Κορίνθου ναυτικόν· καὶ διὰ
τῆς Ἀργείας ἰόντες Λιμναίαν κώμην ἀτείχιστον*

§. 6. *Θαρύπου* It. Vat. Lugd., fortasse F. et G., de quibus tacet Gail., Paus. I, 11, 1. „Apud Plut. in Pyrrh. [c. 1.] est *Θαῤῥύτου υἱὸς ἦν Ἀλκέτας*, ubi cum Vulcan. legendum *Θαῤῥύπου*.“ GOTTL. Nomen *Θαρύπας* de alio exstat etiam Xen. Anab. II, 6, 28. Male igitur vulgo et Bekk. *Θάρυπος*.

Ex una igitur gente apud illos magistratus creabantur.

§. 6. *Ἀτιντᾶνας.* Hunc populum a Palmerio in extremo angulo Epiri propter Apolloniam collocari docet Bloomf. Cf. etiam Muell. de Maced. p. 14. et Leak. Graec. sept. IV. p. 118., qui inter Apsum (*Βερατινόν*) et Aoum (*Βιῶσαν*) eos habitasse ostendit. Add. Arn. ad h. l. Illyrios alii dicunt, alii Epirotas. Vid. Muell. l. d. p. 46. — *Παραυαίους.* Hos ad superiorem Aoum seu Aeantem, ubi nunc Zagori, ponit Muell. de Maced. p. 13. et ad Tab. Graec. septentr. p. 25., in Aoi brachii ad orientem spectantis convallibus et montibus iis, in quibus hic fluvius oritur, Leak. l. d. p. 115. sqq. et 119. Nonnulli eos Thesprotorum populum faciunt. Cf. Bloomf. — *Ὀρέσται.* Hos Macedones fuisse Epirotis postea fortasse ideo attributos, quod se a regibus Macedoniae seiunxerint, demonstrat Muell. de Maced. p. 14. et 46., qui cum Pouquevillio Orestidem nunc Castoriam vocari putat. „Grámista, Anaselítza, Castoría.“ Leak. l. d. III. p. 305. Cf. id. IV. p. 121. et Arn., qui inter Cambunios montes haud procul a via Egnatia collocat.

§. 7. *Κρύφα τῶν Ἀθηναίων.* Quibuscum pacem composuerat. Vid. c. 27. — *ὕστερον ἦλθον*, sero venerunt, ut *ὕστερον ἧκον* VII, 27. Cf. Bloomf.

§. 8. *Ἐπορεύετο.* Ambracia eum profectum esse et ex copiis collectis et ex vv. *διὰ τῆς Ἀργείας ἰόντες* satis liquet. Male igitur Urquhart. Indol. orient. I. p. 83. et 88. e Leucade eum profectum mari Limnaeam pervenisse fingit. — *διὰ τῆς Ἀργείας*] „*τῆς Ἀμφιλοχικῆς.*“ Schol. Cf. III, 105. 106. et de Argivis Amphilochiis c. 68. — *Λιμναίαν.* Argivorum vicum esse etiam Steph. Byz. testatur. De situ eius cf. Krus. Hell. II. 2. p. 328. et 334. sqq. et Muell. ad Tab. Graec. septent. p. 26. Vicus Limnaea a portu postea munito et inhabitato aliquantum videtur abfuisse, et a Krusio ad

ἐπόρθησαν· ἀφικνοῦνταί τε ἐπὶ Στράτον, πόλιν μεγίστην τῆς Ἀκαρνανίας, νομίζοντες, εἰ ταύτην πρώτην λάβοιεν, ῥᾳδίως ἂν σφίσι τἆλλα προςχωρήσειν.

Χαόνων ἧσσα ἐπὶ Στράτῳ.

81. Ἀκαρνᾶνες δὲ αἰσθόμενοι κατά τε γῆν 1
πολλὴν στρατιὰν ἐςβεβληκυῖαν, ἔκ τε θαλάσσης ναυσὶν ἅμα τοὺς πολεμίους παρεσομένους, οὔτε ξυνεβοήθουν, ἐφύλασσόν τε τὰ αὑτῶν ἕκαστοι, παρά τε Φορμίωνα ἔπεμπον κελεύοντες ἀμύνειν· ὁ δὲ ἀδύνατος ἔφη εἶναι, ναυτικοῦ ἐκ Κορίνθου μέλλοντος ἐκπλεῖν, Ναύπακτον ἐρήμην ἀπολιπεῖν.
οἱ δὲ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι τρία τέλη 2
ποιήσαντες σφῶν αὐτῶν ἐχώρουν πρὸς τὴν τῶν Στρατίων πόλιν, ὅπως ἐγγὺς στρατοπεδευσάμενοι, εἰ μὴ λόγοις πείθοιεν, ἔργῳ πειρῷντο τοῦ τείχους.
καὶ μέσον μὲν ἔχοντες προςῄεσαν Χάονες 3
καὶ οἱ ἄλλοι βάρβαροι, ἐκ δεξιᾶς δ' αὐτῶν Λευκάδιοι καὶ Ἀνακτόριοι καὶ οἱ μετὰ τούτων, ἐν ἀριστερᾷ δὲ Κνῆμος καὶ οἱ Πελοποννήσιοι καὶ Ἀμπρακιῶται· διεῖχον δὲ πολὺ ἀπ' ἀλλήλων καὶ ἔστιν ὅτε οὐδὲ ἑωρῶντο.
καὶ οἱ μὲν Ἕλληνες τε- 4

§. 8. Ἂν om. Laur. E. At cf. adn.

Cap. LXXXI. §. 1. Τὰ αὑτῶν. Cass. Cl. Ven. Pal. Gr. al. τὰ αὐτῶν. Cf. adn. I, 17.

radices australes Thyami collocatur. Cf. III, 106. Contra ipsum portum (nunc Κερβασαράς seu Karvansarai) volunt esse Leak. l. d. I. p. 162. IV. p. 243. et Urquh. l. d. — Στράτον. De huius situ cf. III, 106. Krus. Hell. II. 2. p. 336. sq. Leak. l. d. I. p. 137. sqq. — ἂν ... προςχωρήσειν. Particulae ἂν cum infinitivo futuri iunctae alia exempla Thucydidea sunt V, 82. VI, 66. VIII, 25. 71. Cf. Matth. Gr. §. 598. a. et §. 599. d. p. 1412. Rost. §. 120. 6. e. aa. De eadem participio futuri adiuncta cf. adn. V, 15.

Cap. LXXXI. §. 1. Παρὰ Φορμίωνα. Cf. 69, 1.

§. 2. Τρία τέλη ποιήσαντες] „οὐκ ἐπὶ μῆκος, ἀλλ' ἐπὶ πλάτος.“ Schol. Τέλη ut de navibus I, 48, 3. Cf. Wachsm. Antiqu. Gr. I. 1. p. 327. — λόγοις ... ἔργῳ. Cf. ad. I, 73, 2. — πειρῷντο. Cf. adn. I, 81, 4.

§. 3. Μέσον sine articulo ut IV, 31. 96. De similibus cf. adn. I, 8, 1. 48, 4. — οἱ μετὰ τούτων. Ξυμμόρους (cf. adn. IV, 93.) vel perioecos quosdam Leucadiorum et Anactoriorum fuisse censet Arn.

ταγμένοι τε προσῄεσαν καὶ διὰ φυλακῆς ἔχοντες, ἕως ἐστρατοπεδεύσαντο ἐν ἐπιτηδείῳ· οἱ δὲ Χάονες σφίσι τε αὐτοῖς πιστεύοντες καὶ ἀξιούμενοι ὑπὸ τῶν ἐκείνῃ ἠπειρωτῶν μαχιμώτατοι εἶναι οὔτ' ἐπέσχον τὸ στρατόπεδον καταλαβεῖν, χωρήσαντές τε ῥύμῃ μετὰ τῶν ἄλλων βαρβάρων ἐνόμισαν αὐτοβοεὶ ἂν τὴν πόλιν ἑλεῖν καὶ αὐτῶν
5 τὸ ἔργον γενέσθαι. γνόντες δ' αὐτοὺς οἱ Στράτιοι ἔτι προσιόντας, καὶ ἡγησάμενοι, μεμονωμένων εἰ κρατήσειαν, οὐκ ἂν ἔτι σφίσι τοὺς Ἕλληνας ὁμοίως προσελθεῖν, προλοχίζουσι τὰ περὶ τὴν πόλιν ἐνέδραις, καὶ ἐπειδὴ ἐγγὺς ἦσαν, ἔκ τε τῆς πόλεως ὁμόσε χωρήσαντες καὶ ἐκ τῶν
6 ἐνεδρῶν προσπίπτουσι. καὶ ἐς φόβον καταστάντων διαφθείρονταί τε πολλοὶ τῶν Χαόνων, καὶ

§. 4. Ῥύμῃ. In longe plurimis membranis ῥώμῃ. At cf. VII, 70, 2. et Bloomf. hic et ad c. 76. extr., ubi ῥύμῃ ἐμπίπτειν.
Αὑτῶν. Bekk. αὐτῶν. Cf. adn. I, 17.

§. 4. Διὰ φυλακῆς ἔχοντες. I. e. φυλαττόμενοι, caute. — ἐν ἐπιτηδείῳ. Similiter VI, 64., ad qualia olim male subaudiebant τόπῳ (cf. Lamb. Bos. p. 482. sqq.), quum sint neutra. Graeci autem loca ad castra ponenda idonea diligenter exquirebant, quum ea non, ut Romani, quotidie munirent. — οὔτ' ἐπέσχον τὸ στρατόπεδον καταλαβεῖν. Ἐπέσχον Schol. interpretatur ἐνεκαρτέρησαν, Port. sustinuerunt, quod non potest fieri. Apud Herodotum ἐπέχειν cum infinitivo iunctum ter valet deliberare, sibi proponere (tanquam metam). Cf. Lex. Herod. et Steph. Thes. III. p. 1500., ubi hoc exemplum Thucydideum adscripsit Dind. Et haec explanatio sane simplicissima est. Sin propterea, quod alibi nusquam apud Thuc. hoc vocabulum ita dicatur, eam spernas, verba sic explica: neque morati sunt (substiterunt), ut castra occuparent. Articulus videtur significare ea castra, quae ut locarent, convenerat (inter socios). Ad infinitivum eum refert Arn. (cf. VII, 33.), sed obstat sententia, quo minus ἐπέχειν hic sit abstinere, ut 76, 2., ubi cf. adn. — αὐτοβοεί. Primo impetu et clamore, Liv. I, 11: primo clamore atque impetu, id. VI, 4., et similiter saepe. Vid. ibi Drakenb. Cf. Moer. infra III, 74. 113. V, 3. et ed. mai.

§. 5. Ἔτι προςιόντας, i. e. „antequam cursum absolvissent.“ HAACK. — προλοχίζουσι ... ἐνέδραις. Eadem formula utitur Procop. Pers. p. 58. „Redundat ἐνέδραις, quum iam sit in verbo προλοχίζουσι; λόχος enim significat insidias.“ BAU. Cf. Matth. Gr. §. 636. 1. p. 1540. sq. et Lob. Paral. Gr. II. p. 523. sqq. Dicitur etiam προλοχίζειν ἐνέδρας, ut III, 112.

οἱ ἄλλοι βάρβαροι ὡς εἶδον αὐτοὺς ἐνδόντας,
οὐκέτι ὑπέμειναν, ἀλλ' ἐς φυγὴν κατέστησαν.
τῶν δὲ Ἑλληνικῶν στρατοπέδων οὐδέτερον ἤ- 7
σθετο τῆς μάχης διὰ τὸ πολὺ προελθεῖν αὐτοὺς
καὶ στρατόπεδον οἰηθῆναι καταληψομένους ἐπεί-
γεσθαι. ἐπεὶ δὲ ἐνέκειντο φεύγοντες οἱ βάρβαροι, 8
ἀνελάμβανόν τε αὐτούς, καὶ ξυναγαγόντες τὰ
στρατόπεδα ἡσύχαζον αὐτοῦ τὴν ἡμέραν, ἐς χεῖ-
ρας μὲν οὐκ ἰόντων σφίσι τῶν Στρατίων διὰ
τὸ μήπω τοὺς ἄλλους Ἀκαρνᾶνας ξυμβεβοηθη-
κέναι, ἄποθεν δὲ σφενδονώντων καὶ ἐς ἀπορίαν
καθιστάντων· οὐ γὰρ ἦν ἄνευ ὅπλων κινηθῆναι.
δοκοῦσι δ' οἱ Ἀκαρνᾶνες κράτιστοι εἶναι τοῦτο
ποιεῖν.

Κνῆμος παρ' Οἰνιάδας ἀναχωρεῖ.

82. Ἐπειδὴ δὲ νὺξ ἐγένετο, ἀναχωρήσας ὁ 1
Κνῆμος τῇ στρατιᾷ κατὰ τάχος ἐπὶ τὸν Ἄναπον
ποταμόν, ὃς ἀπέχει σταδίους ὀγδοήκοντα Στρά-
του, τούς τε νεκροὺς κομίζεται τῇ ὑστεραίᾳ ὑπο-
σπόνδους, καὶ Οἰνιαδῶν ξυμπαραγενομένων κα-
τὰ φιλίαν, ἀναχωρεῖ παρ' αὐτούς, πρὶν τὴν ξυμ-
βοήθειαν ἐλθεῖν· κἀκεῖθεν ἐπ' οἴκου ἀπῆλθον
ἕκαστοι. οἱ δὲ Στράτιοι τροπαῖον ἔστησαν τῆς
μάχης τῆς πρὸς τοὺς βαρβάρους.

§. 7. Τῶν ... Ἑλλην. στρατοπέδων. Cf. §. 2. 4. — αὐτούς] τοὺς Χάονας. — οἰηθῆναι] τὰ Ἑλληνικὰ στρατόπεδα.

§. 8. Ἐπεὶ ἐνέκειντο φεύγοντες οἱ βάρβ., quum barbari fugientes (in Graecos) irruerent, effusa fuga (in eos) ferrentur. Insolentius ἐγκεῖσθαι, quod alibi de persequentibus dicitur, ad fugientes translatum est. — ἀνελάμβανον αὐτούς] „οἱ Ἕλληνες τοὺς βαρβάρους.“ Schol. — σφίσι. Cf. adn. I, 20, 1. — οὐ γὰρ ... κινηθῆναι, neque enim sine gravi armatura („i. e. si ea non contecti et muniti erant adversus hostium tela.“ KISTEM.) loco se movere poterant. Cf. ed. mai. — τοῦτο, i. e. τὸ σφενδονᾶν.

Cap. LXXXII. Ἄναπον. Is Siciliae Anapo longe obscurior hodie Aëtos nominatur. Cf. Krus. Hell. II. 2. p. 310. — Οἰνιαδῶν. Cf. 102, 2. sqq. — τὴν ξυμβοήθειαν. Cogita τῶν Ἀκαρνάνων. Cf. 80, 1. 81, 1.

Cap. LXXXIII. sqq. Duas pugnas navales hic narratas describit Diod. XII, 48. Figura aeri incisa eas illustratas vide in libro, qui inscribitur „Maps and plans illustrative of Thucydides.“

τὸ δὲ τῶν Πελοποννησίων ναυτικὸν ἐς Ἀκαρνανίαν μέλλον διαβαλεῖν ἀναγκάζεται Φορμίωνι ναυμαχῆσαι.

1 83. Τὸ δ' ἐκ τῆς Κορίνθου καὶ τῶν ἄλλων
ξυμμάχων τῶν ἐκ τοῦ Κρισαίου κόλπου ναυτικόν,
ὃ ἔδει παραγενέσθαι τῷ Κνήμῳ, ὅπως μὴ ξυμ-
βοηθῶσιν οἱ ἀπὸ θαλάσσης ἄνω Ἀκαρνᾶνες, οὐ
παραγίγνεται, ἀλλ' ἠναγκάσθησαν περὶ τὰς αὐτὰς
ἡμέρας τῆς ἐν Στράτῳ μάχης ναυμαχῆσαι πρὸς
Φορμίωνα καὶ τὰς εἴκοσι ναῦς τῶν Ἀθηναίων,
2 αἳ ἐφρούρουν ἐν Ναυπάκτῳ. ὁ γὰρ Φορμίων
παραπλέοντας αὐτοὺς ἔξω τοῦ κόλπου ἐτήρει,
3 βουλόμενος ἐν τῇ εὐρυχωρίᾳ ἐπιθέσθαι. οἱ δὲ
Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἔπλεον μὲν οὐχ ὡς
ἐπὶ ναυμαχίαν, ἀλλὰ στρατιωτικώτερον παρεσκευα-
σμένοι, ἐς τὴν Ἀκαρνανίαν, καὶ οὐκ ἂν οἰόμενοι
πρὸς ἑπτὰ καὶ τεσσαράκοντα ναῦς τὰς σφετέρας
τολμῆσαι τοὺς Ἀθηναίους εἴκοσι ταῖς ἑαυτῶν ναυ-
μαχίαν ποιήσασθαι· ἐπειδὴ μέντοι ἀντιπαραπλέον-
τάς τε ἑώρων αὐτούς, παρὰ γῆν σφῶν κομιζο-
μένων, καί, ἐκ Πατρῶν τῆς Ἀχαΐας πρὸς τὴν
ἀντιπέρας ἤπειρον διαβαλλόντων ἐπὶ Ἀκαρνανίας,

§. 1. Τὸ δ' ἐκ τῆς Κορίνθου ... ναυτικόν. Vid. 80, 3. — ὅπως μὴ ... Ἀκαρνᾶνες. I. e. ὅπως μὴ οἱ ἐπὶ θαλάσσῃ Ἀκαρνᾶνες ἀπὸ θαλάσσης ἄνω ξυμβοηθῶσιν. Cf. hic Haack. et adn. 80, 1. — ἠναγκάσθησαν. Suppl. οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι. — ναυμαχῆσαι. De eadem re §. 3. ναυμαχεῖν. Cf. ad Xen. Cyr. II, 4, 10. et VI, 23, 3. — τὰς εἴκοσι ναῦς. Cf. 69, 1.

§. 2. Παραπλέοντας ... ἔξω τοῦ κόλπου. Haec si germana sunt, debent valere oram eo consilio legentes, ut e sinu enavigarent. Etenim classis Corinthiorum et Sicyoniorum ex Lechaeo et vicinis portibus sinus Crisaei appropinquans oram legebat, dum Athenienses Naupacto profecti illam observantes in adverso litore navigant. Id ex §. 3. certissime intelligimus. Forsitan ἔξω τοῦ κόλπου ab aliquo interprete ad verba ἐν τῇ εὐρυχωρίᾳ adscripta et in falsum membrum recepta esse aliquis coniiciat. De aliis enodationibus cf. ed. mai. — ἐν τῇ εὐρυχωρίᾳ, in aperto seu alto mari. Cf. c. 86. al. et de causa huius consilii Phormionis 89, 8.

§. 3. Οὐχ ὡς ... στρατιωτικώτερον. Pro his 87, 2. οὐχὶ ἐς ναυμαχίαν μᾶλλον ἢ ἐπὶ στρατείαν. Στρατιωτικώτερον igitur, propr. magis militariter, hic ad militiam potius (terrestrem vel diuturnam) sonet necesse est. (Pro eo στρατιῶται It. Vat. Reg.) — ἀντιπαραπλέοντας, adversam oram legentes. Cf. Bloomf. et Did. — σφῶν (τῶν Κορινθίων) κομιζομένων. Cf. Matth. Gr. §. 561. Rost. §. 131. adn. 2. Ut autem hi genitivi cohaerent cum ἑώρων, ita διαβαλλόντων (σφῶν) cum κατεῖδον. — διαβαλλόντων.

κατεῖδον τοὺς Ἀθηναίους ἀπὸ τῆς Χαλκίδος καὶ
τοῦ Εὐήνου ποταμοῦ προςπλέοντας σφίσι, καὶ
οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμενοι, οὕτω δὴ
ἀναγκάζονται ναυμαχεῖν κατὰ μέσον τὸν πορ-
θμόν. στρατηγοὶ δὲ ἦσαν μὲν καὶ κατὰ πόλεις 4
ἑκάστων, οἳ παρεσκευάζοντο, Κορινθίων δὲ Μα-
χάων καὶ Ἰσοκράτης καὶ Ἀγαθαρχίδας. καὶ οἱ 5
μὲν Πελοποννήσιοι ἐτάξαντο κύκλον τῶν νεῶν,
ὡς μέγιστον οἷοί τε ἦσαν, μὴ διδόντες διέκπλουν,
τὰς πρῴρας μὲν ἔξω, εἴσω δὲ τὰς πρύμνας· καὶ
τά τε λεπτὰ πλοῖα, ἃ ξυνέπλει, ἐντὸς ποιοῦνται
καὶ πέντε ναῦς τὰς ἄριστα πλεούσας, ὅπως ἐκ-
πλέοιεν διὰ βραχέος παραγιγνόμενοι, εἴ πη προς-
πλέοιεν οἱ ἐναντίοι.

Cap. LXXXIII. §. 5. *Παραγιγνόμενοι.* Gr. D. I. E. Vind. m. *παραγιγνόμεναι*, quo non opus. Cf. adn.

Προςπλέοιεν Cass. Aug. Cl. Ven. F. Pal. It. Vat. H. Reg.

quum traiicerent. Cf. VI, 30. et *παραβάλλειν* III, 32. extr. — *κατεῖδον τοὺς Ἀθηναίους.* Haec propter interposita membra perspicuitatis causa addita abesse recte poterant. — *Χαλκίδος.* Est urbs ad montem eiusdem nominis, cui hodie nomen *Βαράσσοβα* (et Galata ?), et ad Euenum sita. Cf. Strab. p. 451. 459. Krus. Hell. II. 2. p. 245. Muell. ad Tab. Graec. p. 30. Leak. Graec. sept. I. p. 106. sq. et 111. — *Εὐήνου.* Cf. Strab. l. d. Hodie Phidári. — *καὶ οὐκ . . . ὑφορμισάμενοι*, et quum eos (Corinthios) noctu stationem cepisse non obscurum fuisset, sive quum Corinthii insciis Atheniensibus stationem non potuissent capere. Quoniam enim *ἑώρων* et *κατεῖδον* ad Corinthios eorumque socios referuntur, *ἔλαθον*, quod, sicut illa, cum coniunctione *ἐπειδή* cohaeret, non potest nisi ad eosdem spectare. Vide plura in ed. mai. — *οὕτω δή.* Cf. adn. I, 131, 1. — *κατὰ μέσον τὸν πορθμόν.* Portus *πορθμόν* fretum interpretatur, id est *τὸ τοῦ Κρισαίου κόλπου στόμα* 86, 3. At Bloomf. et alii Graeca rectius expresserunt verbis in medio traiectu, quia Peloponnesii tunc extra sinum (Crisaeum in sinu Patrensi) fuerint, quod ipsum tempus Phormio exspectaverit. Cf. §. 2. et 86, 4., unde extra Rhia hanc Peloponnesiorum cladem accidisse intelligimus. De v. *πορθμός* cf. etiam adn. VI, 2.

§. 4. *Στρατηγοὶ δέ* cet. Similia de alia classe legimus I, 46, 2.

§. 5. *Ἐτάξαντο . . . νεῶν*, orbem suarum navium instruxerunt. Cf. III, 78. — *διέκπλουν.* Cf. adn. I, 49, 3. — *λεπτὰ πλοῖα.* I. e. *μικρὰ πλ.* Cf. VII, 40, 5. — *ἐντὸς ποιοῦνται*, intra se recipiunt, in orbem recipiunt. Cf. VI, 67, 1. — *διὰ βραχέος.* Propr. exiguo ex intervallo („*ὡς ἀπὸ κέντρου πρὸς περιφέρειαν.*“ *ΔΟΥΚΑΣ.*), cf. adn. 29, 3., et iccirco celeriter. — *παραγιγνόμενοι.* De masculino vid. adn. I, 110, 4.

1 **84.** *Οἱ δὲ Ἀθηναῖοι κατὰ μίαν ναῦν τετα-* *ταραχὴ καὶ ἧσσα τῶν Πελοποννησίων.*
γμένοι περιέπλεον αὐτοὺς κύκλῳ καὶ ξυνῆγον
ἐς ὀλίγον, ἐν χρῷ ἀεὶ παραπλέοντες καὶ δόκησιν
παρέχοντες αὐτίκα ἐμβαλεῖν. προείρητο δ' αὐτοῖς
ὑπὸ Φορμίωνος μὴ ἐπιχειρεῖν, πρὶν ἂν αὐτὸς ση-
2 *μήνῃ. ἤλπιζε γὰρ αὐτῶν οὐ μενεῖν τὴν τάξιν,*
ὥςπερ ἐν γῇ πεζήν, ἀλλὰ ξυμπεσεῖσθαι πρὸς ἀλ-
λήλας τὰς ναῦς, καὶ τὰ πλοῖα ταραχὴν παρέξειν,
εἴ τ' ἐκπνεύσαι ἐκ τοῦ κόλπου τὸ πνεῦμα, ὅπερ
ἀναμένων τε περιέπλει, καὶ εἰώθει γίγνεσθαι ἐπὶ
τὴν ἕω, οὐδένα χρόνον ἡσυχάσειν αὐτούς· καὶ τὴν

Gr. al. Vulgo et Bekk. *προςπίπτοιεν.* Quod etsi nobis quoque ob ter iam positum *πλεῖν* multo magis probatur, a libris tamen mss. recedere noluimus, quum alibi quoque apud Thuc. interdum idem verbum parum grato modo repetitum inveniatur. Cf. II, 2. 56. 72.

Cap. LXXXIV. §. 2. *Παρέξειν.* Cass. Aug. Cl. Pal. It. Vat. H. Reg. *παρέχειν*, quod habet quo excusetur. Cf. adn. III, 46.

Ἐπί. Cl. Ven. Reg. Mosqu. Ar. Chr. Dan. *περί*, quod probat Dobr. Cf. tamen Bloomf., qui praeter alia comparat Arri. Anab. III, 18, 11., ubi de coniectura *ὑπό* pro *ἐπί* scripserunt Ellendt. et Krueg. et Xen. Cyr. V, 3, 52., ubi in libris mss. *ἐπὶ τῇ ἕῳ* legitur.

Cap. LXXXIV. §. 1. *Κατὰ μίαν ναῦν τεταγμένοι.* Haec utrum de longa singularum navium acie, an de *βάθει* aciei intelligenda sint, dubitant interpretes. Illi explicationi favent similia dicendi genera *ἐπὶ μιᾶς* et *ἐπὶ μίαν* (cf. Duk. ad VI, 32.), et quod 90, 4. iunguntur *κατὰ μίαν ἐπὶ κέρως.* Attamen *ἐπί* certe non minus de ordinibus *εἰς βάθος* instructis dici ostendit Duk. ad VII, 79. Hic Haackius et Goell. naves primum, quum adveherentur, singulas iuxta singulas, deinde *ἐπιστροφῇ* facta, de qua tamen apud Thuc. nihil legitur, singulas post singulas docent navigavisse. — *ξυνῆγον ἐς ὀλίγον*, in angustum cogebant. Cf. §. 3. *ἐν ὀλίγῳ* et adn. 81, 4. — *ἐν χρῷ*] „*ἀντὶ τοῦ πλησίον. ἔστι δὲ ἀποκοπή·* [?cf. Rost. Gr. §. 45. 2.] *ἦν γὰρ ἐν χρωτί. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῆς κουρᾶς τῆς ἄχρι τοῦ χρωτὸς γιγνομένης.*“ Schol. Naves semper cursu propemodum vadentes Port., strictim Haas. Cf. Bloomf. et ed. mai. — *δόκησιν.* Cf. adn. 35, 2. et de infinitivo postea sine articulo posito adn. I, 16. — *σημήνῃ.* De hoc coniunctivo et de *βούληται* §. 2. vid. Rost. Gr. §. 123b. 5. b.

§. 2. *Τὰ πλοῖα* Thuc. hic simpliciter vocat, quae 83, 5. *λεπτὰ πλοῖα* dixerat. Cf. Duk. ad IV, 116, 2. — *ἐκπνεύσαι ἐκ τοῦ κόλπου.* Cf. VI, 104, 2. et ibi Bloomf. — *ὅπερ.* Ex hoc accusativo postea ad v. *εἰώθει* nominativum repete.

ἐπιχείρησιν ἐφ᾽ ἑαυτῷ τε ἐνόμιζεν εἶναι, ὁπόταν
βούληται, τῶν νεῶν ἄμεινον πλεουσῶν, καὶ τότε
καλλίστην γίγνεσθαι. ὡς δὲ τό τε πνεῦμα κατήει, 3
καὶ αἱ νῆες ἐν ὀλίγῳ ἤδη οὖσαι ὑπ᾽ ἀμφοτέρων,
τοῦ τε ἀνέμου τῶν τε πλοίων, ἅμα προςκειμέ-
νων ἐταράσσοντο, καὶ ναῦς τε νηῒ προςέπιπτε, καὶ
τοῖς κοντοῖς διωθοῦντο, βοῇ τε χρώμενοι καὶ
πρὸς ἀλλήλους ἀντιφυλακῇ τε καὶ λοιδορίᾳ οὐδὲν
κατήκουον οὔτε τῶν παραγγελλομένων οὔτε τῶν
κελευστῶν, καὶ τὰς κώπας ἀδύνατοι ὄντες ἐν κλυ-
δωνίῳ ἀναφέρειν ἄνθρωποι ἄπειροι τοῖς κυβερ-
νήταις ἀπειθεστέρας τὰς ναῦς παρεῖχον, τότε δὴ
κατὰ τὸν καιρὸν τοῦτον σημαίνει· καὶ οἱ Ἀθη-
ναῖοι προςπεσόντες πρῶτον μὲν καταδύουσι τῶν
στρατηγίδων νεῶν μίαν, ἔπειτα δὲ καὶ πάσας, ᾗ

§. 3. *Κλυδωνίῳ*. Suidas et Photius in v. *κλυδώνιον* legunt *κλύδωνι*, quod reponendum esse coniecit Steph. in Thes. Confirmatur certe imitationibus Arriani et Appiani. Vid. Bloomf. in ed. mai.

— *ἐφ᾽ ἑαυτῷ*] *ἐπὶ τῇ ἐξουσίᾳ αὐτοῦ*. Cf. Matth. Gr. §. 586. δ΄. III, 12. VII, 12. al. — *καλλίστην*. *Κάλλιστ᾽ ἂν* coniicit Krueg.

§. 3. *Κατήει*. Cf. adn. 25, 4. — *τοῖς κοντοῖς διωθοῦντο*. *Διωθεῖσθαι* hic sonat sich von einander stofsen. Exempla verbi ita positi vide apud Bloomf. *Κοντοῖς ἐξεώθουν ἀπ᾽ ἀλλήλων* (*τὰς ναῦς*) pro his dixit Appi. Civ. V, 89. Augmenti syllabici verborum *ὠθεῖν* et *ὠνεῖσθαι* omissi, de qua re tacent grammatici nostri, exempla vide in ed. mai., velut *ὦθει* Plat. Charm. p. 155. C., *ἐξωνοῦντο* Aeschin., *ἀντωνεῖτο* Andoc. et scriptorum non Atticorum haud pauca. Apud Thuc. tamen nusquam alibi sic scribitur, nisi quod in uno Par. E. *ἀπώσαντο* legitur I, 144. — *ἀντιφυλακῇ*, mutua cautione. — *κελευστῶν*. A Latinis hortatores et pausarii vocantur. „De eorum munere in navibus Scheffer. de Milit. nav. IV, 7. et interpr. Poll. I, 96.“ DUK. Cf. VII, 70. et hic Arn. — *τὰς κώπας ... ἀναφέρειν*. Remos ad se reducere et attollere suspensos (antequam rursus demissi immergantur) interpretatur Villois. ad Long. secundum Steph. Thes. — *ἐν κλυδωνίῳ*, in mari undanti, fluctibus agitato. Sed cf. sd. — *ἀπειθεστέρας*, minus obtemperantes, i. e. inhabiles. Cf. Bloomf. — *τότε ... τοῦτον*. Cf. adn. I, 58, 1. — *σημαίνει*. Suppl. *ὁ Φορμίων*. Cf. §. 1. — *πάσας ... διέφθειρον*. Pro his Diod. XII, 48: *τῶν ἄλλων πολλὰς ἄπλους ἐποίησε* (*Φορμίων*). *Διαφθείρειν* enim, ut *καταδύειν*, de quo vid. adn. I, 50, 1., etiam hac vi ponitur. Cf. 90, 5. 92, 2.

χωρήσειαν, διέφθειρον, καὶ κατέστησαν ἐς ἀλκὴν
μὲν μηδένα τρέπεσθαι αὐτῶν ὑπὸ τῆς ταραχῆς,
4 φεύγειν δ᾽ ἐς Πάτρας καὶ Δύμην τῆς Ἀχαΐας. οἱ
δὲ Ἀθηναῖοι καταδιώξαντες καὶ ναῦς δώδεκα λα-
βόντες τούς τε ἄνδρας ἐξ αὐτῶν τοὺς πλείστους
ἀνελόμενοι ἐς Μολύκρειον ἀπέπλεον· καὶ τροπαῖον
στήσαντες ἐπὶ τῷ Ῥίῳ καὶ ναῦν ἀναθέντες τῷ
5 Ποσειδῶνι ἀνεχώρησαν ἐς Ναύπακτον. παρέπλευ-
σαν δὲ καὶ οἱ Πελοποννήσιοι εὐθὺς ταῖς περιλοί-
ποις τῶν νεῶν ἐκ τῆς Δύμης καὶ Πατρῶν ἐς
Κυλλήνην τὸ Ἠλείων ἐπίνειον· καὶ ἀπὸ Λευκάδος
Κνῆμος καὶ αἱ ἐκεῖθεν νῆες, ἃς ἔδει ταύταις ξυμ-
μῖξαι, ἀφικνοῦνται μετὰ τὴν ἐν Στράτῳ μάχην
ἐς τὴν Κυλλήνην.

§. 4. *Μολύκρειον*. Similiter vulgo III, 102. At ibi Cass. Aug. Ven. C. F. Pal. It. Vat. Reg. Gr. *Μολύκριον*, et II, 86. in omnibus libris *Μολυκρικόν*. Quare hic quoque *Μολύκριον* recipiendum videtur. Cf. ed. mai. I. 2. p. 165.

§. 5. *Ξυμμῖξαι*, Bekk. In membranis aut plerisque aut omnibus *ξυμμίξαι*, et alibi idem et *προςμίξαι*, praeterquam quod in Pal. *προςμῖξαι* III, 31. IV, 126. VII, 22. Cf. Buttm. Gr. max. ed. verb. anom., sed etiam Lob. Paral. Gr. II. p. 410. sqq.

VII, 41. VIII, 34. — *ἐς ἀλκὴν* (ad resistendum, ad pugnam) ... *τρέπεσθαι*. Sic vel *πρὸς ἀλκὴν τρέπεσθαι* complures rerum scriptores, sicut Herodot., Arri., Dion. Hal. Cf. Wessel. ad Herod. IV, 125. et Steph. Thes. v. *ἀλκή*. Insolentius *ἐς ἀλκὴν ὑπομεῖναι* III, 108. — *Δύμην*. Est ex Achaiae urbibus *πασῶν δυςμικωτάτη*. Cf. Strab. p. 386. sq. Paus. VII, 17, 3. sqq. Leak. It. Mor. II. p. 159. sqq.

§. 4. *Τούς τε ἄνδρας ... ἀνελόμενοι*, suscepta maxima parte hominum, qui in illis erant, et translata in suas naves. Cf. ed. mai. — *Μολύκρειον*. De forma nominis cf. sd., de conditione urbis III, 102., de situ Strab. p. 451. 460. Paus. IX, 31, 5. — *τῷ Ῥίῳ*. *Τῷ Μολυκρικῷ* 86, 2. — *ναῦν ... Ποσειδῶνι*. „Solebant veteres post victoriam navibus partam naves deo, qui favisse videbatur, dicare, et Neptuno plerumque. Sic paulo infra c. 92. — Plura hac de re vide apud Scheffer. de Milit. nav. IV, 2. p. 273.“ HUDS. Add. Wessel. ad Diod. XII, 48. et hic Gottl. Neptuni templum in Rhio Molycrico fuisse e Scyl. §. 35. colligit Bloomf. Cf. c. 92. adn.

§. 5. *Κνῆμος*. Is ex Oeniadis, quo eum se recepisse c. 82. audivimus, haud dubie Leucadem se contulerat, aut a classe Oeniadas praetervecta receptus erat. — *αἱ ἐκεῖθεν νῆες*. Cf. 80, 3. et de attractione adn. I, 62, 4. — *ξυμμῖξαι*, se coniungere, ut III, 110. et VII, 26. De passivo cf. adn. 31, 1.

οἵ τε Λακεδαιμόνιοι ἄλλην ναυμαχίαν παρασκευάζονται, οἵ τε Ἀθηναῖοι ἀποστέλλουσι Φορμίωνι βοήθειαν· αὕτη γε μέντοι πρότερον ἐς Κρήτην πλεῖ.

85. *Πέμπουσι δὲ καὶ οἱ Λακεδαιμόνιοι τῷ Κνή-* 1
μῳ ξυμβούλους ἐπὶ τὰς ναῦς Τιμοκράτην καὶ Βρασί-
δαν καὶ Λυκόφρονα, κελεύοντες ἄλλην ναυμαχίαν
βελτίω κατασκευάζεσθαι, καὶ μὴ ὑπ' ὀλίγων νεῶν εἴρ-
γεσθαι τῆς θαλάσσης. ἐδόκει γὰρ αὐτοῖς, ἄλλως τε 2
καὶ πρῶτον ναυμαχίας πειρασαμένοις, πολὺς ὁ πα-
ράλογος εἶναι, καὶ οὐ τοσούτῳ ᾤοντο σφῶν τὸ
ναυτικὸν λείπεσθαι, γεγενῆσθαι δέ τινα μαλακίαν,
οὐκ ἀντιτιθέντες τὴν Ἀθηναίων ἐκ πολλοῦ ἐμ-
πειρίαν τῆς σφετέρας δι' ὀλίγου μελέτης. ὀργῇ
οὖν ἀπέστελλον. οἱ δὲ ἀφικόμενοι μετὰ Κνήμου 3
ναῦς τε περιήγγελλον κατὰ πόλεις καὶ τὰς προ-
υπαρχούσας ἐξηρτύοντο ὡς ἐπὶ ναυμαχίαν. πέμ- 4
πει δὲ καὶ ὁ Φορμίων ἐς τὰς Ἀθήνας τήν τε
παρασκευὴν αὐτῶν ἀγγελοῦντας καὶ περὶ τῆς ναυ-
μαχίας, ἣν ἐνίκησαν, φράσοντας, καὶ κελεύων
αὐτῷ ναῦς ὅ τι πλείστας διὰ τάχους ἀποστεῖλαι,
ὡς καθ' ἡμέραν ἑκάστην ἐλπίδος οὔσης ἀεὶ ναυ-
μαχήσειν. οἱ δὲ ἀποπέμπουσιν εἴκοσι ναῦς αὐ- 5
τῷ, τῷ δὲ κομίζοντι αὐτὰς προσεπέστειλαν ἐς

Cap. LXXXV. §. 1. *Κατασκευάζεσθαι.* In deterioribus libris *παρασκευάζεσθαι*, ut 86, 5. et *μάχη ἐκ παρασκευῆς* V, 56. At *κατασκευάζεσθαι πολιορκίαν* legimus c. 78., *κατασκευάζεσθαι* et *παρασκευή* inter se respondent IV, 75., *κατασκευάζειν τὸν πόλεμον* dixit Isocrates. Cf. Arn. et VIII, 5, 1.

§. 2. *Τοσούτῳ.* F. et Reg. non male *τοσοῦτον.* Cf. ed. mai.

§. 4. *Αὐτῷ.* Bekk. *αὑτῷ.* Cf. adn. I, 17.

Cap. LXXXV. §. 1. *Ξυμβούλους.* Cf. Herm. Antiqu. Gr. §. 45, 4. III, 79. V, 63. et de simili more Romanorum Schweigh. ad Appi. III. p. 305.

§. 2. *Πρῶτον*] „*ἐν τῷ Πελοποννησιακῷ πολέμῳ δηλονότι.*“ Schol. — *ὁ παράλογος.* Cf. adn. I, 78. 1. — *λείπεσθαι.* Cogita *ἐμπειρίᾳ* seu *τέχνῃ.* — *ἀντιτιθέντες.* Cum genitivo etiam III, 56. coniunctum est. Cf. ed. mai. — *τὴν ... ἐκ πολλοῦ ἐμπειρίαν*, peritiam multo usu confirmatam, longi temporis usum. De vv. *ἐκ πολλοῦ* vid. Vig. p. 598. et 88, 2. De re vid. I, 142, 7. — *δι' ὀλίγου.* Cf. adn. I, 77, 6. — *ἀπέστελλον*] „*τοὺς συμβούλους.*“ Schol. De imperfecto cf. adn. I, 26, 1.

§. 3. *Περιήγγελλον.* Cf. adn. 10, 1.

§. 4. *Καθ' ἡμέραν ἑκάστην ... ἀεί.* De his coniunctis cf. Wund. ad Soph. Philoct. v. 780. Schaef. ad Demosth. III. p. 265. Steph. Thes. I. p. 727.

§. 5. *Γορτύνιος*] *ἰστέον, ὅτι ἡ Γόρτυς* (de qua flexione huius nominis vid. Steph. Thes.)

Κρήτην πρῶτον ἀφικέσθαι. Νικίας γὰρ Κρὴς
Γορτύνιος, πρόξενος ὤν, πείθει αὐτοὺς ἐπὶ Κυ-
δωνίαν πλεῦσαι, φάσκων προσποιήσειν αὐτὴν οὖ-
σαν πολεμίαν· ἐπῆγε δὲ Πολιχνίταις χαριζόμε-
6 *νος, ὁμόροις τῶν Κυδωνιατῶν. καὶ ὁ μὲν λα-*
βὼν τὰς ναῦς ᾤχετο ἐς Κρήτην καὶ μετὰ τῶν
Πολιχνιτῶν ἐδῄου τὴν γῆν τῶν Κυδωνιατῶν, καὶ
ὑπὸ ἀνέμων καὶ [ὑπὸ] ἀπλοίας ἐνδιέτριψεν οὐκ
ὀλίγον χρόνον.

οἱ Πελοποννήσιοι καὶ ὁ Φορμίων ἀνθορμοῦσιν ἡμέρας τινάς, μεθ' ἃς ἐκεῖνοι ξυγκαλοῦνται ἐς ἐκκλησίαν.

1 86. *Οἱ δ' ἐν τῇ Κυλλήνῃ Πελοποννήσιοι ἐν*
τούτῳ, ἐν ᾧ οἱ Ἀθηναῖοι περὶ Κρήτην κατείχον-
το, παρεσκευασμένοι ὡς ἐπὶ ναυμαχίαν παρέπλευ-
σαν ἐς Πάνορμον τὸν Ἀχαϊκόν, οὗπερ αὐτοῖς ὁ
κατὰ γῆν στρατὸς τῶν Πελοποννησίων προσεβε-
2 *βοηθήκει. παρέπλευσε δὲ καὶ ὁ Φορμίων ἐπὶ*
τὸ Ῥίον τὸ Μολυκρικόν, καὶ ὡρμίσατο ἔξω αὐ-
3 *τοῦ ναυσὶν εἴκοσιν, αἷσπερ καὶ ἐναυμάχησεν. ἦν*

§. 6. *Ὑπὸ ἀπλοίας. Ὑπό* om. C. F. Laur. E. m. Ar. Chr. Dan. Cf. adn.

Cap. LXXXVI. §. 1. *Προσεβεβοηθήκει.* Bekk. *προσβεβοηθήκει*, alterum in ed. ster. ex solo Pal. enotans; at ita libri, quos nos novimus, omnes, et idem legitur 25, 5.

πόλις ἐστὶ Κρήτης, ἀπέχουσα Κυδωνίας σχεδὸν σταδίους χιλίους.“ Schol., DCCC stadia secundum Strab. p. 479. — *πρόξενος.* Cf. adn. 29, 1. — *Κυδωνίαν.* De causis inimicitiarum harum urbium vid. Muell. Aegin. p. 113. et Dor. I. p. 30. — *προσποιήσειν αὐτήν.* Subaud. *αὐτοῖς* (*τοῖς Ἀθηναίοις*). — *Πολιχνίταις*, Polichnes oppidi incolis. Cf. Steph. Byz.

§. 6. *Ὑπὸ ἀνέμων.* Cf. Matth. Gr. §. 592. a. α΄. Tum *ἄπλοια* dubitari potest significetne navigandi difficultatem ventis adversis effectam, an malacia. Sed haec explanatio ob iteratam praepositionem videtur probanda, quae tamen abest a nonnullis libris, fortasse recte, quum Athenienses remis potius quam velis in navibus longis utentes maris tranquillitate a navigando prohibitos esse minus verisimile videatur. Et VIII, 99. verbis *ὑπὸ ἀπλοίας* navigationis impedimentum e tempestatibus ortum significari certum est.

Cap. LXXXVI. §. 1. *Πάνορμον.* Cf. Paus. VII, 22, 7. Hodie Teket, Tekieh. Cf. Pouqu. et Leak. — *τὸν Ἀχαϊκόν.* Sunt enim etiam alii Panormi, ex quibus duo commemorat Thucydides. Vid. Ind. nom. Genus masculinum ex appellativo remansit. Cf. c. 92. — *οὗπερ ... προσεβεβοηθήκει.* Cf. adn. I, 134, 4.

§. 2. *Τὸ Ῥίον τὸ Μολυκρικόν.* Idem alibi Antirrhium. In eo hodie situm castrum Romaniae. — *ἐναυμάχησεν.*

δὲ τοῦτο μὲν τὸ Ῥίον φίλιον τοῖς Ἀθηναίοις, τὸ
δ' ἕτερον Ῥίον ἐστὶν ἀντιπέρας τὸ ἐν τῇ Πελο-
ποννήσῳ· διέχετον δὲ ἀπ' ἀλλήλων σταδίους μά-
λιστα ἑπτὰ τῆς θαλάσσης· τοῦ δὲ Κρισαίου κόλ-
που στόμα τοῦτό ἐστιν. ἐπὶ οὖν τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ οἱ 4
Πελοποννήσιοι, ἀπέχοντι οὐ πολὺ τοῦ Πανόρμου,
ἐν ᾧ αὐτοῖς ὁ πεζὸς ἦν, ὡρμίσαντο καὶ αὐτοὶ
ναυσὶν ἑπτὰ καὶ ἑβδομήκοντα, ἐπειδὴ καὶ τοὺς
Ἀθηναίους εἶδον. καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ ἡμέρας 5
ἀνθώρμουν ἀλλήλοις, μελετῶντές τε καὶ παρα-
σκευαζόμενοι τὴν ναυμαχίαν, γνώμην ἔχοντες οἱ
μὲν μὴ ἐκπλεῖν ἔξω τῶν Ῥίων ἐς τὴν εὐρυχω-
ρίαν, φοβούμενοι τὸ πρότερον πάθος, οἱ δὲ μὴ
ἐςπλεῖν ἐς τὰ στενά, νομίζοντες πρὸς ἐκείνων εἶ-
ναι τὴν ἐν ὀλίγῳ ναυμαχίαν. ἔπειτα ὁ Κνῆμος 6
καὶ ὁ Βρασίδας καὶ οἱ ἄλλοι τῶν Πελοποννη-
σίων στρατηγοί, βουλόμενοι ἐν τάχει τὴν ναυμα-
χίαν ποιῆσαι, πρίν τι καὶ ἀπὸ τῶν Ἀθηναίων

§. 3. *Διέχετον* Bekk. *Διέχετο* Lugd. Vulgo et in ceteris libris mss. omnibus, ut videtur, *διείχετον*. *Διειχέτην* recepit Gottl., quod in F. et G. exstare ex Gailii silentio parum certo colligitur. Im-

Τὸ πρότερον adscriptum in gl. Lugd. Cf. c. 83.

§. 3. *Τὸ δ' ἕτερον Ῥίον.* In quo hodie *τὸ Κάστρον τῆς Μορέας.* — *σταδίους ... ἑπτά.* „Credere non possum utrumque litus non plus distare, quam vulgo opinantur. Thucydides intervallum septem stadiorum esse dicit, Strabo p. 335. quinque, Plinius H. Nat. IV, 2. minus mille passuum. Sed contemplantis oculo non minus quam mille et quingentorum passuum videtur esse.“ DODW. It. Graec. p. 171., quocum consentit Leak. Mor. II. p. 148. sq.

§. 4. *Οὐ πολύ.* Quindecim stadia secundum Paus. l. d. — *εἶδον.* Suppl. *ὁρμισαμένους.*

§. 5. *Ἐπί.* Cf. adn. 25, 3. — *μελετῶντες*, exercentes (se), meditationes bellicas facientes. Cf. adn. I, 80, 4., hic Bloomf. et Schweb. ad Onos. p. 25. *Τὴν ναυμαχίαν* ad hoc verbum minus apte referas. — *γνώμην ἔχοντες.* Similiter sine artic. III, 92. IV, 125. Cf. *γνώμην ποιοῦμαι* I, 128, 7. et ibi adn. — *οἱ μέν*] οἱ *Πελοποννήσιοι.* — *οἱ δέ*] *οἱ Ἀθηναῖοι.* — *πρὸς ἐκείνων εἶναι.* Cf. Matth. Gr. §. 593. a. β'. Rost. §. 110. 3. v. *πρός.* VII, 81. VIII, 36. al. De re cf. 89, 8.

§. 6. *Τὴν ναυμαχίαν ποιῆσαι.* Activum de ducibus ponitur, qui auctores sunt, ut pugna fiat. Cf. IV, 91. V, 59. 80. Medio tamen utitur Phormio 89, 8. ipse quoque certaturus. — *Ἀθηναίων.* Cf. sd. I, 110, 4.

ἐπιβοηθῆσαι, ξυνεκάλεσαν τοὺς στρατιώτας πρῶ-
τον, καὶ ὁρῶντες αὐτῶν τοὺς πολλοὺς διὰ τὴν προ-
τέραν ἧσσαν φοβουμένους καὶ οὐ προθύμους ὄν-
τας παρεκελεύσαντο καὶ ἔλεξαν τοιάδε.
1 87. „Ἡ μὲν γενομένη ναυμαχία, ὦ ἄνδρες
Πελοποννήσιοι, εἴ τις ἄρα δι' αὐτὴν ὑμῶν φοβεῖται
τὴν μέλλουσαν, οὐχὶ δικαίαν ἔχει τέκμαρσιν τὸ
2 ἐκφοβῆσαι. τῇ τε γὰρ παρασκευῇ ἐνδεὴς ἐγένετο,
ὥςπερ ἴστε, καὶ οὐχὶ ἐς ναυμαχίαν μᾶλλον ἢ ἐπὶ
στρατείαν ἐπλέομεν· ξυνέβη δὲ καὶ τὰ ἀπὸ τῆς
τύχης οὐκ ὀλίγα ἐναντιωθῆναι· καί πού τι καὶ ἡ
3 ἀπειρία πρῶτον ναυμαχοῦντας ἔσφηλεν. ὥςτε οὐ
κατὰ τὴν ἡμετέραν κακίαν τὸ ἡσσῆσθαι προς-
εγένετο, οὐδὲ δίκαιον τῆς γνώμης τὸ μὴ κατὰ

παρακέλευσις τῶν στρατηγῶν Κνήμου καὶ Βρασίδου καὶ τῶν ἄλλων πρὸς τοὺς Πελοποννησίους.

perfectum si recte flexum esset, defendi posset. Vid. sd. I, 63, 2. Sed *διείχετον* ferri non potest. Cf. ed. mai. sd.

Cap. LXXXVII. §. 1. *Οὐχὶ δικαίαν ... τὸ ἐκφοβῆσαι.* „Reiskius putat constructionem sic procedere: *ἡ ναυμαχία ... ἔχει τὸ ἐκφοβῆσαι (ποτὲ αὐτὴν ὑμᾶς) οὐ δικαίαν τέκμαρσιν*, i. e. superius proelium navale habet *τὸ ἐκφοβῆσαι* non iustam argumentationem futuri; nempe quod superior pugna navalis vos terruerit, in eo non est satis firmum argumentum de futuro eventu male sperandi. [Cum Reiskio facit Matth. Gr. §. 541.] Haec [tamen] intricatior est interpretatio.“ GOTTL. Alii haec referunt ad Matth. Gr. §. 543. sic in Lat. convertentes: non continet iustum argumentum, ut vos terreat; nam superiorem cladem militibus non debere terrorem iniicere maxime affirmandum est.

§. 2. *Οὐχὶ ἐς ... ἢ ἐπὶ στρ.* Cf. 83, 3. et verba Tac. Hist. II, 40: non ut ad pugnam, sed ad bellandum profecti. — *τὰ ἀπὸ τῆς τύχης.* Alibi *τὰ τῆς τύχης.* Cf. adn. I, 37, 1. et de re 84, 3. — *καί πού τι καί*, et aliqua ex parte fortasse etiam.

§. 3. *Τῆς γνώμης.* Genitivus, si haec recte scripta sunt, iungendus cum v. *ἀμβλύνεσθαι.* Cf. adn. 65, 4. Sed et ipse usus huius casus suspectus, (nam *ἀμβλύνεσθαι τὴν γνώμην, τὸν θυμόν*, similia solere dici ostendit Bloomf.,) et collocatio offensioni est. Longe usitatius certe *τὴν γνώμην*, quod Cantacuzenus, qui II, 6. totam hanc paragraphum impudenter exscripsit, in verbis *τοὺς τὴν γνώμην μὴ κατὰ κράτος νικηθέντας* substituit, vel *τῇ γνώμῃ* diceretur, ex quibus casibus ille et cum vv. *τὸ νικηθέν* et cum *ἀμβλύνεσθαι*, qua ipsa de causa propter collocationem articuli *τό* praestat, hic cum solis *τὸ νικηθέν* ita coniungeretur, ut inde ad *ἀμβλύνεσθαι* accusativus repeteretur. Cf. *τῇ γνώμῃ δεδουλωμένοι* IV, 34. et ibi interpr., *τὴν γνώμην αὐτῶν οὐχ ἡσση-*

κράτος νικηθέν, ἔχον δέ τινα ἐν αὐτῷ ἀντιλο-
γίαν, τῆς γε ξυμφορᾶς τῷ ἀποβάντι ἀμβλύνεσθαι,
νομίσαι δὲ ταῖς μὲν τύχαις ἐνδέχεσθαι σφάλλε-
σθαι τοὺς ἀνθρώπους, ταῖς δὲ γνώμαις τοὺς
αὐτοὺς ἀεὶ ἀνδρείους ὀρθῶς εἶναι, καὶ μὴ ἀπει-
ρίαν, τοῦ ἀνδρείου παρόντος, προβαλλομένους
εἰκότως ἂν ἔν τινι κακοὺς γενέσθαι. ὑμῶν δ' 4
οὐδ' ἡ ἀπειρία τοσοῦτον λείπεται, ὅσον τόλμῃ
προέχετε· τῶνδε δὲ ἡ ἐπιστήμη, ἣν μάλιστα φο-
βεῖσθε, ἀνδρίαν μὲν ἔχουσα καὶ μνήμην ἕξει ἐν
τῷ δεινῷ ἐπιτελεῖν ἃ ἔμαθεν, ἄνευ δὲ εὐψυχίας
οὐδεμία τέχνη πρὸς τοὺς κινδύνους ἰσχύει· φόβος
γὰρ μνήμην ἐκπλήσσει, τέχνη δὲ ἄνευ ἀλκῆς οὐ-
δὲν ὠφελεῖ. πρὸς μὲν οὖν τὸ ἐμπειρότερον αὐτῶν τὸ 5
τολμηρότερον ἀντιτάξασθε, πρὸς δὲ τὸ διὰ τὴν ἧσ-
σαν δεδιέναι τὸ ἀπαράσκευοι τότε τυχεῖν. περιγίγνε- 6
ται δὲ ὑμῖν πλῆθός τε νεῶν καὶ πρὸς τῇ γῇ οἰκείᾳ
οὔσῃ, ὁπλιτῶν παρόντων, ναυμαχεῖν· τὰ δὲ πολλὰ

Cap. LXXXVII. §. 3. *Τῆς γε.* In plerisque mss. male *τῆς τε.* §. 4. *Ἀνδρίαν* Ven. Gr. Bekk. Vulgo *ἀνδρείαν*, de quo anceps est iudicium. Cf. sd. 39, 4.

σθαι VI, 72. Et eos tantum vere victos esse, quorum *γνώμας* aliquis subegerit (*παρεστήσατο, ἐδουλώσατο*), disputat Aristid. I. p. 164. — *τὸ ... νικηθέν*, i. e. *τοὺς νικηθέντας.* Cf. adn. 45, 1. Formula autem *κατὰ κράτος*, si *γνώμης* nomen cum v. *νικηθέν* cohaeret, non, ut plerumque, vi, sed graviter, plane, significat, in quam sententiam accepit Schol. VII, 41., nec multum differt notio acriter I, 118. — *ἀντιλογίαν.* Est proprie ratio, quam quis (adversariis) obiiciat, Gegenrede, quare Rechtfertigungsgründe, excusatio. — *τῆς ξυμφορᾶς τῷ ἀποβάντι*] „*τῇ ἀποβάσῃ ξυμφορᾷ.*" Schol. Calamitatis eventu s. casu. — *ὀρθῶς*, recte, iure, iungendum cum vv. *ἀνδρείους εἶναι*, et respondet ei, quod sequitur, *εἰκότως.* Cum sententia cf. V, 75. extr. — *καὶ μή* cet. „Ordo est: *καὶ (νομίσαι δίκαιον) μὴ εἰκότως ἂν ἔν τινι κακοὺς γενέσθαι, προβαλλομένους ἀπειρίαν.*" ABRESCH.

§. 4. *Ἐκπλήσσει*, i. e. *ἐκβάλλει*, excutit. Cf. 38, 1. Cic. Tusc. IV, 9, 19., supra 38, 5. et ed. mai. — *ἀλκῆς.* Hic est animi robur, *εὐψυχία.*

§. 5. *Τὸ ἐμπειρότερον*, i. e. *τὴν μείζω ἐμπειρίαν.* Similiter *τὸ τολμηρότ.* — *ἀπαράσκευοι ... τυχεῖν.* Suppl. *ὄντες.* Cf. adn. I, 32, 3.

§. 6. *Περιγίγνεται ὑμῖν.* „*Ἐκ περιουσίας ἐστὶν ὑμῖν, ὅ ἐστιν, ὑπὲρ τοὺς Ἀθηναίους ἔχεθ' ὑμεῖς ταῦτα.*" ΔΟΥΚΑΣ. Cf. adn. I, 144, 3. II, 39, 4. et de infin. *ναυμ.* Matth. Gr. §. 542. — *τὰ δὲ πολλά*] „*ἀντὶ τοῦ ὡς ἐπὶ τὸ πολύ.*" Schol. —

τῶν πλειόνων καὶ ἄμεινον παρεσκευασμένων τὸ
7 κράτος ἐστίν. ὥςτε οὐδὲ καθ' ἓν εὑρίσκομεν εἰκότως
ἂν ἡμᾶς σφαλλομένους· καὶ ὅσα ἡμάρτομεν πρό-
τερον, νῦν αὐτὰ ταῦτα προςγενόμενα διδασκαλίαν
8 παρέξει. θαρσοῦντες οὖν καὶ κυβερνῆται καὶ ναῦ-
ται τὸ καθ' ἑαυτὸν ἕκαστος ἕπεσθε, χώραν μὴ
9 προλείποντες, ᾗ ἄν τις προσταχθῇ. τῶν δὲ πρό-
τερον ἡγεμόνων οὐ χεῖρον τὴν ἐπιχείρησιν ἡμεῖς
παρασκευάσομεν, καὶ οὐκ ἐνδώσομεν πρόφασιν
οὐδενὶ κακῷ γενέσθαι· ἢν δέ τις ἄρα καὶ βου-
ληθῇ, κολασθήσεται τῇ πρεπούσῃ ζημίᾳ· οἱ δὲ
ἀγαθοὶ τιμήσονται τοῖς προςήκουσιν ἄθλοις τῆς
ἀρετῆς."

τῶν Ἀθηναίων αἱ γνῶμαι καὶ διάθεσις τῶν ψυχῶν. ξυγκαλοῦνται ὑπὸ τοῦ στρατηγοῦ.

1 88. Τοιαῦτα μὲν τοῖς Πελοποννησίοις οἱ ἄρ-
χοντες παρεκελεύσαντο. ὁ δὲ Φορμίων δεδιὼς
καὶ αὐτὸς τὴν τῶν στρατιωτῶν ὀῤῥωδίαν καὶ
αἰσθόμενος, ὅτι τὸ πλῆθος τῶν νεῶν κατὰ σφᾶς
αὐτοὺς ξυνιστάμενοι ἐφοβοῦντο, ἐβούλετο ξυγκα-
λέσας θαρσῦναί τε καὶ παραίνεσιν ἐν τῷ παρόν-
2 τι ποιήσασθαι. πρότερον μὲν γὰρ ἀεὶ αὐτοῖς
ἔλεγε, καὶ προπαρεσκεύαζε τὰς γνώμας, ὡς οὐ-
δὲν αὐτοῖς πλῆθος νεῶν τοσοῦτον, ἢν ἐπιπλέῃ,

Cap. LXXXVIII. §. 2. *Οὐδὲν αὐτοῖς ... αὐτοῖς ἐστι.* Pro priore *αὐτοῖς* Aug. C. Pal. It. Vat. Reg. Gr. Laur. *αὐτούς*, alterum abest ab E. Cf. adn.

τὸ κράτος, victoria, ut III, 13. et al.

§. 7. *Ὅσα.* Cf. adn. I, 38, 6. — *προςγενόμενα*] „*προςκτηθέντα.*" Schol. Suppleta dixeris. — *διδασκαλίαν παρέξει.* „Ex proverbio *τὰ παθήματα μαθήματα.*" ARN.

§. 8. *Τὸ καθ' ἑαυτὸν ἕκαστος.* Cf. adn. 11, 3.

§. 9. *Τῶν δὲ πρότ. ἡγεμόνων.* Cf. 83, 4. — *οὐ χεῖρον.* Est nota *λιτότης* (cf. I, 84, 4. IV, 13, 4. al.), hic ideo adhibita, ne priores duces offenderentur. — *τιμήσονται.* Cf. Rost. Gr. §. 114. adn. 1. *Τιμηθήσομαι*, quod improbat Thomas Mag., legitur VI, 80.

Cap. LXXXVIII. §. 1. *Τῶν νεῶν. Τῶν ἐναντίων.* — *κατὰ ... ξυνιστάμενοι.* „Supra II, 21. *κατὰ ξυστάσεις γιγνόμενοι.*" HAACK. *Συναθροιζόμενοι* Schol. — *παραίνεσιν ... ποιήσασθαι.* Respondet haec formula dicendi plane superiori *παρακελεύσασθαι.* Cf. c. 90. init. VIII, 76. al.

§. 2. *Προπαρεσκεύαζε τὰς γνώμας*, animos eorum (ita) praeparabat. — *αὐτοῖς ... αὐτοῖς.* Alterutrum quidem pronomen abesse

ὅ τι οὐχ ὑπομενετέον αὐτοῖς ἐστι· καὶ οἱ στρα-
τιῶται ἐκ πολλοῦ ἐν σφίσιν αὐτοῖς τὴν ἀξίωσιν
ταύτην εἰλήφεσαν, μηδένα ὄχλον Ἀθηναῖοι ὄντες
Πελοποννησίων νεῶν ὑποχωρεῖν. τότε δὲ πρὸς 3
τὴν παροῦσαν ὄψιν ὁρῶν αὐτοὺς ἀθυμοῦντας
ἐβούλετο ὑπόμνησιν ποιήσασθαι τοῦ θαρσεῖν, καὶ
ξυγκαλέσας τοὺς Ἀθηναίους ἔλεξε τοιάδε.

παραίνεσις τοῦ στρατηγοῦ Φορμίωνος πρὸς τοὺς Ἀθηναίους.

89. „Ὁρῶν ὑμᾶς, ὦ ἄνδρες στρατιῶται, πε- 1
φοβημένους τὸ πλῆθος τῶν ἐναντίων ξυνεκάλε-
σα, οὐκ ἀξιῶν τὰ μὴ δεινὰ ἐν ὀῤῥωδίᾳ ἔχειν.
οὗτοι γὰρ πρῶτον μὲν διὰ τὸ προνενικῆσθαι καὶ 2
μηδὲ αὐτοὶ οἴεσθαι ὅμοιοι ἡμῖν εἶναι τὸ πλῆθος
τῶν νεῶν καὶ οὐκ ἀπὸ τοῦ ἴσου παρεσκευάσαν-
το· ἔπειτα ᾧ μάλιστα πιστεύοντες προςέρχονται,
ὡς προςῆκον σφίσιν ἀνδρείοις εἶναι, οὐ δι' ἄλλο
τι θαρσοῦσιν ἢ διὰ τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν
τὰ πλείω κατορθοῦντες, καὶ οἴονται σφίσι καὶ ἐν
τῷ ναυτικῷ ποιήσειν τὸ αὐτό. τὸ δ' ἐκ τοῦ δι- 3
καίου ἡμῖν μᾶλλον νῦν περιέσται, εἴπερ καὶ τού-

poterat; sed cf. adn. IV, 93. VII, 4. — ἦν ἐπιπλέῃ. Haec, quae proprie post ὅ τι collocanda videantur, ideo ante hoc sunt posita, quod Thucydides οὐδὲν ... ὅ τι οὐχ arcte voluit cohaerere. Cf. adn. 62, 2. — ἀξίωσιν, existimationem, opinionem. Cf. III, 9, 2. et Dobr. ad VI, 54. — μηδένα ὄχλον ... ὑποχωρεῖν. Cf. Rost. Gr. §. 104. 2. b. et Pflugk. ad Eur. Hec. v. 812. Add. ἐξαναχωρεῖν IV, 28.

Cap. LXXXIX. §. 1. Ξυνεκάλεσα. Cf. adn. 60, 1. — οὐκ ἀξιῶν. Cf. adn. I, 136, 3. — ἐν ὀῤῥωδίᾳ ἔχειν. Cf. adn. I, 55, 1.

§. 2. Ὅμοιοι, pares. Cf. adn. I, 42, 4. — τὸ πλῆθος ... παρεσκευάσαντο: Multitudinem navium, et non ad parem numerum, compararunt, i. e. non aequalem numerum navium comparare satis habuerunt, sed longe maiorem, quem comparatum videtis (τὸ πλ.), collegerunt. — ὡς προςῆκον. Cf. Matth. Gr. §. 568. 3. b. Rost. §. 131. 5. — καὶ οἴονται ... τὸ αὐτό. „Verbi ποιήσειν subiectum est τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν, et τὸ αὐτό referendum ad κατορθοῦντες, hac vi: et in rebus etiam nauticis putant sibi idem praestaturam pedestris pugnae peritiam, i. e. neque minus in pugna navali victoriam sibi paratum iri illa pedestris pugnae peritia.“ GAIL. Arnoldius tamen, cui Goeller assentitur, subiectum etiam in vv. ᾧ μάλιστα πιστεύοντες προςέρχονται inesse posse, itaque fortitudinem, quam sibi vindicant, esse explicat.

§. 3. Τὸ δέ. „Tantum ad τὸ κατορθοῦν spectare potest, quod significatur proximis verbis ποιήσειν τὸ αὐτό.“ BLOOMF. At Goeller τό quoque ad illa ᾧ μάλιστα πιστεύοντες προςέρχονται vult respicere; nam si esset τὸ κατορθοῦν, scriptorem dicturum fuisse ἐκ τοῦ εἰκότος, non ἐκ τοῦ δικαίου. Ceterum de hoc genere dicendi cf. adn. I, 51, 2. — τῷ δὲ ... ἐσμέν, quod autem utrique maiorem (alicuius rei) peritiam habemus, eo (utrique) sumus audaciores. De pron. τὶ cf. sd.

τοις ἐν ἐκείνῳ· ἐπεὶ εὐψυχίᾳ γε οὐδὲν προφέρου-
σι, τῷ δὲ ἑκάτεροί [τι] ἐμπειρότεροι εἶναι θρα-
4 σύτεροί ἐσμεν. Λακεδαιμόνιοί τε ἡγούμενοι τῶν
ξυμμάχων διὰ τὴν σφετέραν δόξαν ἄκοντας προς-
άγουσι τοὺς πολλοὺς ἐς τὸν κίνδυνον· ἐπεὶ οὐκ
ἄν ποτε ἐπεχείρησαν ἡσσηθέντες παρὰ πολὺ αὖ-
5 θις ναυμαχεῖν. μὴ δὴ αὐτῶν τὴν τόλμαν δείσητε.
πολὺ δὲ ὑμεῖς ἐκείνοις πλέω φόβον παρέχετε καὶ
πιστότερον κατά τε τὸ προνενικηκέναι, καὶ ὅτι
οὐκ ἂν ἡγοῦνται μὴ μέλλοντάς τι ἄξιον τοῦ πα-
6 ρὰ πολὺ πράξειν ἀνθίστασθαι ἡμᾶς. ἀντίπαλοι
μὲν γὰρ οἱ πλείους, ὥςπερ οὗτοι, τῇ δυνάμει τὸ

Cap. LXXXIX. §. 3. Τὶ om. Cass. Aug. Cl. It. Vat. Si recte positum est, quum non dicatur ἔμπειρος πρᾶγμα, sed πράγματος vel περὶ πράγματος, cum comparativo ita nexum est, ut legimus τὶ μᾶλλον IV, 21., τὶ τὸ πλέον IV, 27. Cf. adn. I, 49, 3. Non placet tamen ita acceptum. Ceterum ἔμπειρος sine casu quum alibi legitur, tum §. 7.

§. 5. Ἡμᾶς Cass. Aug. Cl. Ven. C. F. T. Pal. H. Reg. al. Vulgo et Bekk. ὑμᾶς propter superiora ὑμεῖς παρέχετε. Sed „per se aptius est non solum milites, sed etiam imperatorem h. l. cogitari.“ HAACK. Sequitur certe prima persona etiam §. 6. 7.

§. 4. Διὰ τὴν σφετέραν δόξαν, suae gloriae caussa. Διά hic valet ἕνεκα, ut IV, 102. V, 53. Cf. Arn. ad IV, 40, 2. Iungenda enim haec sunt cum verbo προςάγουσι. Cf. ed. mai. — ἐπεχείρησαν. Suppl. οἱ ξύμμαχοι. Protasis, quae cogitatur, est εἰ μὴ ἄκοντας οἱ Λακεδαιμόνιοι προςῆγον. — παρὰ πολύ. Cf. adn. I, 29, 4. et Vig. p. 646. VII.

§. 5. Οὐκ ἄν. Ἄν refer ad ἀνθίστασθαι. — τὶ ἄξιον τοῦ παρὰ πολύ. Significatur aliquid dignum singulari vel eximia agendi ratione, sive πράσσειν iterandum est, sive haec τὸ παρὰ πολύ substantive sunt posita, ut τὸ παρ' αὐτίκα IV, 121., τὸ παρ' ἐλπίδα IV, 62. VII, 66., alia apud Bernh. Synt. p. 328. sq.

§. 6. Ἀντίπαλοι. Dubitatur, utrum haec vox hic significet pares viribus, an adversarios pugnam committentes, θαῤῥοῦντας ἀντιπαλαίειν (Schol.). Cf. ed. mai. — ὥςπερ οὗτοι. Esse Lacedaemonios quum per se liquet, tum ex vv. ἃ λογιζόμενοι οὗτοι cet. —

πλέον πίσυνοι ἢ τῇ γνώμῃ ἐπέρχονται· οἱ δ' ἐκ
πολλῷ ὑποδεεστέρων καὶ ἅμα οὐκ ἀναγκαζόμε-
νοι μέγα τι τῆς διανοίας τὸ βέβαιον ἔχοντες ἀν-
τιτολμῶσιν. ἃ λογιζόμενοι οὗτοι τῷ οὐκ εἰκότι
πλέον πεφόβηνται ἡμᾶς ἢ τῇ κατὰ λόγον παρα-
σκευῇ. πολλὰ δὲ καὶ στρατόπεδα ἤδη ἔπεσεν ὑπὸ 7
ἐλασσόνων τῇ ἀπειρίᾳ, ἔστι δὲ ἃ καὶ τῇ ἀτολμίᾳ·
ὧν οὐδετέρου ἡμεῖς νῦν μετέχομεν. τὸν δὲ ἀγῶ- 8
να οὐκ ἐν τῷ κόλπῳ ἑκὼν εἶναι ποιήσομαι, οὐδ'
ἐςπλεύσομαι ἐς αὐτόν. ὁρῶ γάρ, ὅτι πρὸς πολ-
λὰς ναῦς ἀνεπιστήμονας ὀλίγαις ναυσὶν ἐμπεί-
ροις καὶ ἄμεινον πλεούσαις ἡ στενοχωρία οὐ ξυμ-
φέρει. οὔτε γὰρ ἂν ἐπιπλεύσειέ τις, ὡς χρή, ἐς
ἐμβολὴν μὴ ἔχων τὴν πρόςοψιν τῶν πολεμίων
ἐκ πολλοῦ, οὔτε ἂν ἀποχωρήσειεν ἐν δέοντι πιε-

§. 8. *Πρόςοψιν.* *Πρόοψιν* Bekk. de coniectura. „*Πρός-οψιν* e Thuc. adnotat Pollux II, 58.“ DUK. Is quidem etiam ad IV, 29. respicere potuit, et *πρόοψις* quoque e Thuc. affert, quod ipsum exstat V, 8. Sed *πρόςοψιν* hinc habet Thom. Mag, idque Goell. propter addita verba *ἐκ πολλοῦ* putat ferri posse.

πίσυνοι. „Suidas in *περιωπή* inter *γλωττώδη* Thucydidis esse dicit.“ DUK. At eo praeter alios ex poetis Aeschylum et Aristophanem, ex scriptoribus Herodotum et Dionysium Hal. uti docent interpretes ad V, 14., ubi nos Appiani testimonium adiecimus. — *οἱ δ' ἐκ πολλῷ ὑποδεεστέρων.* De collocatione verborum cf. adn. I, 69, 5. Ceterum ad haec nos e superioribus *ἐπερχόμενοι* vel potius *ἐπιόντες* repetimus, ut *ἐξ ἐλασσόνων ὁρμᾶσθαι* et similia usurpantur. Cf. Bernh. Synt. p. 229. — *τῆς διανοίας τὸ βέβαιον*, animi firmitatem. — *τῷ οὐκ εἰκότι*, propter id, quod non verisimile erat, (nos tanto minoribus cum copiis ipsis obviam ituros). — *τῇ κατὰ λόγον παρασκευῇ*, propter apparatum rationi consentaneum, iustum. Cum sententia cf. VI, 34, 8.

§. 7. *Ἔπεσεν.* Pro hoc *ἔπαισεν* legi iubet Haasius Lucubr. Thuc. p. 67. sq., quia *πίπτειν* de totis exercitibus dici non meminerit, etsi de magna potentia magnove imperio (ut VII, 77.) positum reperiatur. — *ὧν ... μετέχομεν.* Ut iusta sit argumentatio, simul contraria sententia *Λακεδαιμόνιοι δὲ μετέχουσιν* ex posita contraria intelligenda est. Cf. ed. mai. et Goell.

§. 8. *Ἑκὼν εἶναι.* Cf. Matth. Gr. §. 545. 3. Rost. §. 122. 9. p. 646. — *ἐμβολήν.* *Ἐμβολή* est impetus rostro (*τῷ ἐμβόλῳ*) faciendus. Cf. VII, 34. 36. Distinguitur a *προςβολῇ* VII, 70, 4., ubi vid. adn. — *ἐκ πολλοῦ*, e longinquo, ut IV, 32. et al. — *ἐν δέοντι*,

ζόμενος· διέκπλοι τε οὐκ εἰσίν, οὐδὲ ἀναστροφαί,
ἅπερ νεῶν ἄμεινον πλεουσῶν ἔργα ἐστίν, ἀλλ'
ἀνάγκη ἂν εἴη τὴν ναυμαχίαν πεζομαχίαν καθί-
στασθαι· καὶ ἐν τούτῳ αἱ πλείους νῆες κρείσσους
9 γίγνονται. τούτων μὲν οὖν ἐγὼ ἕξω τὴν πρόνοι-
αν κατὰ τὸ δυνατόν· ὑμεῖς δὲ εὔτακτοι παρὰ
ταῖς [τε] ναυσὶ μένοντες τά τε παραγγελλόμενα ὀξέ-
ως δέχεσθε, ἄλλως τε καὶ δι' ὀλίγου τῆς ἐφορμήσεως
οὔσης, καὶ ἐν τῷ ἔργῳ κόσμον καὶ σιγὴν περὶ
πλείστου ἡγεῖσθε, ὃ ἔς τε τὰ πολλὰ τῶν πολε-
μικῶν, καὶ ξυμφέρει καὶ ναυμαχίᾳ οὐχ ἥκιστα· ἀμύ-
10 νασθε δὲ τούςδε ἀξίως τῶν προειργασμένων. ὁ δὲ ἀ-
γὼν μέγας ὑμῖν, ἢ καταλῦσαι Πελοποννησίων τὴν

§. 9. *Ταῖς τε ναυσί* Cass. Aug. Pal. It. Vat. Bekk. Vulgo *τὲ* abest. Cf. adn.

Ὃ ἔς τε Bekk. ex coniectura Stephani. Vulgo *ὥςτε*, pro quo nonnulli *ὥς τε* legunt, „*κατὰ σχῆμα ὑπερβατόν, ἵνα ᾖ, ὡς τά τε πολλὰ (ἐν πολλοῖς) τῶν πολεμικῶν ξυμφέρει (κόσμος καὶ σιγή), καὶ ναυμαχίᾳ οὐχ ἥκιστα.*“ *ΔΟΥΚΑΣ.* Cf. *ὥςπερ τε* VII, 18. init. Et *ὥς τε* nonnulli scribunt etiam VII, 24, 2. At „non sine ambiguitate scriptor post *ὡς* admiserit eiusmodi particulae transpositionem.“ HAACK. Accedit, quod hic nec eae valent illius traiectionis explicationes, quas Schaef. ad Poet. gnom. p. 73. et ad Demosth. I. p. 191. atque alibi et nos in Ind. Xen. Anab. v. *τὲ* proposuimus, nec ea, de qua dictum in adn. I, 16. Cf. tamen etiam adn. II, 15, 5.

Καί ξυμφέρει. *Καί* accessit ex Cass. Aug. Cl. Ven. T. Pal. It. Vat. H. Reg. Bas. I. *Ξυμφέρει* post *καί* positum est, quia particulas *καὶ ... καί*, atque etiam, separari necesse est.

i. e. *δεόντως*, ut oportet, commode. Cf. Bred. — *διέκπλοι.* Cf. adn. I, 49, 3. — *ἀναστροφαί*] „*αἱ εἰς τοὐπίσω ἀναχωρήσεις, ἀνακάμψεις.*“ Schol.

§. 9. *Εὔτακτοι ... μένοντες.* Haec, si *τὲ* recte receptum est (cf. sd.), sic interpretanda sunt: ordinem servantes et apud naves remanentes. Ita adiectivum *εὔτακτοι*, ad quod iam cogitatur *μένοντες*, videtur explicari verbis *παρά τε ταῖς ναυσὶ μένοντες*, ne *πρωθύστερον* oriri putandum sit. Nescio tamen, an aptior sit vulgata significans compositis ordinibus apud naves manentes. — *τὰ παραγγελλόμενα ... δέχεσθε.* Cf. adn. 11, 8. — *δι' ὀλίγου τῆς ἐφορμήσεως οὔσης*, quum (hostium) statio, unde nos observant, non longe absit (ita ut facile nos aggredi possint). „*Ἐφόρμησις* est pro *ἔφορμος* III, 6.“ BLOOMF. Legitur etiam III, 33. et bis VIII, 15. De verbis *δι' ὀλίγου* cf. adn. 29, 3. — *κόσμον.* Cf. adn. 11, 8. — *ὃ ἔς τε τὰ πολλά.* Huc iam ex iis, quae sequuntur, assumendum *ξυμφέρει.* Cf. sd.

ἐλπίδα τοῦ ναυτικοῦ, ἢ ἐγγυτέρω καταστῆσαι Ἀθη-
ναίοις τὸν φόβον περὶ τῆς θαλάσσης. ἀναμιμνή- 11
σκω δ' αὖ ὑμᾶς, ὅτι νενικήκατε αὐτῶν τοὺς πολ-
λούς. ἡσσημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ
γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὅμοιαι εἶναι."

οἱ Πελοποννήσιοι ἀναγόμενοι πλέουσιν ἔσω ἐπὶ τοῦ Κρισαίου κόλπου, οἷς ἀκολουθήσαντος τοῦ Φορμίωνος ἄρχεται μάχη, ἐν ᾗ πρῶτον μὲν οἱ Ἀθηναῖοι τρέπονται καὶ κακοῦνται.

90. Τοιαῦτα δὲ καὶ ὁ Φορμίων παρεκελεύετο. 1
οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ αὐτοῖς οἱ Ἀθηναῖοι
οὐκ ἐπέπλεον ἐς τὸν κόλπον καὶ τὰ στενά, βου-
λόμενοι ἄκοντας ἔσω προαγαγεῖν αὐτούς, ἀναγό-
μενοι ἅμα ἕῳ ἔπλεον ἐπὶ τεσσάρων ταξάμενοι
τὰς ναῦς ἐπὶ τὴν ἑαυτῶν γῆν ἔσω ἐπὶ τοῦ κόλ-
που, δεξιῷ κέρᾳ ἡγουμένῳ, ὥςπερ καὶ ὥρμουν·
ἐπὶ δ' αὐτῷ εἴκοσιν ἔταξαν τὰς ἄριστα πλεούσας, 2
ὅπως, εἰ ἄρα νομίσας ἐπὶ τὴν Ναύπακτον αὐ-
τοὺς πλεῖν ὁ Φορμίων καὶ αὐτὸς ἐπιβοηθῶν ταύ-

Cap. XC. §. 1. Ἀναγόμενοι. Laur. m. ἀναγαγόμενοι. Cf. sd. I, 51.

Ἐπὶ τήν. Laur. E. Vind. m. παρὰ τήν. Deinde ab E. Vind. m. abest ἑαυτῶν. Cf. adn.

§. 11. *Αὖ.* Cf. §. 2. — *ἡσσημένων . . . εἶναι.* Cum sententia cf. VII, 61, 3. Liv. XXI, 40. al. in ed. mai. c. Ἐθέλουσι valet solent.

Cap. XC. §. 1. *Τοιαῦτα δέ.* Cf. adn. I, 43, 5. — *παρεκελεύετο.* Cf. adn. I, 72, 3. — *οἱ δὲ Πελοποννήσιοι* cet. De statione utrorumque cf. 86, 2. 4. — *ἐπὶ τεσσάρων.* „Κατὰ τέσσαρας τὸ πλάτος [quod Graeci μῆκος potius appellant]." ΔΟΥΚΑΣ. Male Matth. Gr. §. 584. γ'. Cf. adn. 84, 1. — *ἐπὶ τὴν ἑαυτῶν γῆν.* Quum sententia sit iuxta seu secundum terram suam, aut παρά legendum (cf. sd.), aut, quum hoc ab interpretibus profectum esse verisimile sit (cf. Schol. hic, III, 7. 99. al.), dativi τῇ γῇ reponendi videntur. Arnoldius tamen accusativos ita tuetur, ut praepositionis notionem ex duabus mixtam esse censeat, significantis in suum agrum versus et propter eum. Prius enim ideo dici potuisse, quia pleraeque naves Corinthiorum, Sicyoniorum, Pellenensium fuerint. Cf. c. 83. Certe ob similes emphases et ἐπί IV, 108, 5. et παρά V, 67, 2. cum accusativis pro dativis reperiuntur coniuncta. Ναυπακτίων pro pron. ἑαυτῶν legendum esse audacius suspicatur Krueg. Sed huic coniecturae nec verba ἔσω ἐπί, pro quibus ἔνδον ἐν exspectes, favent, nec haec, εἰ ἄρα . . . ὁ Φορμίων, parum apte dicta, si Peloponnesii cursum palam illuc direxerint. — *ἔσω ἐπὶ τοῦ κόλπου*, introrsus in sinum versus. — *δεξιῷ κέρᾳ ἡγουμένῳ.* De dativis vid. Matth. Gr. §. 405. adn. 2. Rost. §. 106. adn. 1. et §. 131. 3. Cf. VIII, 25, 3.

§. 2. *Ταύτῃ παραπλέοι*, hac oram legeret, huc o-

τῃ παραπλέοι, μὴ διαφύγοιεν πλέοντα τὸν ἐπί-
πλουν σφῶν οἱ Ἀθηναῖοι ἔξω τοῦ ἑαυτῶν κέρως,
3 ἀλλ' αὗται αἱ νῆες περικλήσειαν. ὁ δέ, ὅπερ ἐκεῖ-
νοι προςεδέχοντο, φοβηθεὶς περὶ τῷ χωρίῳ ἐρή-
μῳ ὄντι, ὡς ἑώρα ἀναγομένους αὐτούς, ἄκων καὶ
κατὰ σπουδὴν ἐμβιβάσας ἔπλει παρὰ τὴν γῆν·
καὶ ὁ πεζὸς ἅμα τῶν Μεσσηνίων παρεβοήθει.
4 ἰδόντες δὲ οἱ Πελοποννήσιοι κατὰ μίαν ἐπὶ κέρως
παραπλέοντας, καὶ ἤδη ὄντας ἐντὸς τοῦ κόλπου
τε καὶ πρὸς τῇ γῇ, ὅπερ ἐβούλοντο μάλιστα, ἀπὸ
σημείου ἑνὸς ἄφνω ἐπιστρέψαντες τὰς ναῦς με-
τωπηδὸν ἔπλεον, ὡς εἶχε τάχους ἕκαστος, ἐπὶ

ram (adversam) legens navigaret. — *μὴ διαφύγοιεν . . . κέρως.* Διαφεύγειν τινὰ ἔξω τοῦ κέρως est brevitas dicendi valens effugere aliquem praetervehendo extra cornu, seu praetergrediendo cornu. Cf. §. 5. 91, 1. VIII, 102, 1. Pronomina σφῶν et ἑαυτῶν de iisdem hic leguntur, ut VIII, 76. et alibi. Πλέων ἐπίπλους denique est forma dicendi insolentior, quae illustratur quodammodo verbis τῷ φιλίῳ ἐπίπλῳ VIII, 102., verum magis etiam comparanda est cum Ciceronianis belli impetus navigavit pro leg. Manil. §. 34., sed, quoniam in nomine ἐπίπλους verbum πλεῖν iam inest, et dictio hic non est oratoria, minus est grata. Πλέοντες pro vulgato πλέοντα legendum coniecerunt Krueg. et Dobr.

§. 3. *Ἄκων καὶ κατὰ σπουδήν*, invitus et festinanter (praepropere). Cf. Bloomf., qui de vv. κατὰ σπουδήν comparat I, 93. II, 94. III, 49. Tum ad partic. ἐμβιβάσας Schol. recte subaudit τοὺς στρατιώτας. — *παρὰ τὴν γῆν*] τὴν οἰκείαν δηλονότι. — *τῶν Μεσσηνίων.* Τῶν ἐκ Ναυπάκτου.

§. 4. *Κατὰ μίαν ἐπὶ κέρως*, singulis in ordinem navibus longo agmine. Ita haec expresseris secundum Liv. XXXVII, 29. De formula κατὰ μίαν cf. adn. 84, 1. Quae quum et στίχον et ζυγόν possit designare, addita sunt verba ἐπὶ κέρως, longo agmine (Liv. XXXVII, 23.), quae leguntur etiam VI, 32. (ubi vid. Duk.) VI, 34. VIII, 104. Cf. de his interpr. Herodot. VI, 12. Wachsm. Antiqu. Gr. II. 1. p. 421. et hic Bloomf. et Arn. — *ἀπὸ σημείου ἑνός*, uno signo dato. Cf. III, 91., ἀπὸ ἑνὸς κελεύσματος II, 92. et Held. ad Plut. Aem. Paul. p. 218. — *ἐπιστρέψαντες τὰς ναῦς.* Hac conversione unum illum στίχον, quem ἐπὶ κέρως πλέοντες efficiebant, mutaverunt in unum ζυγόν. De militia terrestri idem verbum legitur V, 10., ubi cf. adn. — *μετωπηδὸν ἔπλεον*] „τὸ μέτωπον τῆς νεὼς ἡ πρῷρα ἐστί. λέγει οὖν, ὅτι τὰ μέτωπα, ὅ ἐστι τὰ πρόςωπα τῶν νεῶν, παρεῖχον τοῖς ἐναντίοις." Schol. Adversis frontibus μετωπηδόν interpretantur plerique, iunctis frontibus Goeller. Comparanda verba Livii: in frontem directas habebant naves et, in frontem dirigebant. XXXVII, 23. — *ὡς εἶχε τά-*

τοὺς Ἀθηναίους, καὶ ἤλπιζον πάσας τὰς ναῦς ἀ-
πολήψεσθαι. τῶν δὲ ἕνδεκα μέν, αἵπερ ἡγοῦντο, 5
ὑπεκφεύγουσι τὸ κέρας τῶν Πελοποννησίων καὶ
τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν· τὰς δὲ ἄλλας
ἐπικαταλαβόντες ἐξέωσάν τε πρὸς τὴν γῆν ὑπο-
φευγούσας καὶ διέφθειραν, ἄνδρας τε τῶν Ἀθη-
ναίων ἀπέκτειναν, ὅσοι μὴ ἐξένευσαν αὐτῶν. καὶ 6
τῶν νεῶν τινας ἀναδούμενοι εἷλκον κενάς, μίαν
δὲ αὐτοῖς ἀνδράσιν εἷλον ἤδη· τὰς δέ τινας οἱ
Μεσσήνιοι παραβοηθήσαντες, καὶ ἐπεσβαίνοντες
ξὺν τοῖς ὅπλοις ἐς τὴν θάλασσαν, καὶ ἐπιβάντες,
ἀπὸ τῶν καταστρωμάτων μαχόμενοι ἀφείλοντο
ἑλκομένας ἤδη.

οἱ δὲ Πελοποννήσιοι διώκοντες ἕνδεκα ναῦς

91. Ταύτῃ μὲν οὖν οἱ Πελοποννήσιοι ἐκράτουν τε καὶ ἔφθειραν τὰς Ἀττικὰς ναῦς. αἱ δὲ εἴκοσι νῆες αὐτῶν αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως ἐδίω-

§. 6. Ἤδη post εἷλον in duobus pessimis libris Ar. et Chr. omissum expunxit Bekk. in ed. stereot., quod mirere, ex solis Pal. et m. enotans. Ferri potest, si εἷλον interpretamur ceperant. Cf. adn. 62, 2.

Cap. XCI. §. 1. Ἔφθειραν. Cass. Aug. Pal. It. Bas. Gr. Lugd. ἔφθειρον. Ven. C. F. et nonnulli deteriores διέφθειρον. Imperfectum Kistemakero auctore propter ἐκράτουν recepit Haack. Hoc tamen actionem diuturniorem, quae postremo imperfecta mansit, significat, quod aliter se habet in altero verbo, cuius aoristum modo de hac re legimus 90, 5.

χους ἕκαστος. Cf. Matth. Gr. §. 337. Rost. §. 108. 2. h).

§. 5. Ὑπεκφεύγουσι ... εὐρυχωρίαν, Peloponnesiorum cornu (τὸ δεξιόν, τὰς εἴκοσι ναῦς) et conversionem vitantes in locum amplum (partem sinus latiorem) fugerunt. Cf. 91, 1. et supra §. 2. adn. Cum eadem breviloquentia Plinius, quem imitere, Ep. IX, 33. cuius illum novitatem odoremque in altum refugisse. — τὴν εὐρυχωρίαν] „τὴν περὶ τὴν Ναύπακτον· εὐρύνεται γὰρ ὁ κόλπος ἐνταῦθα.“ ΔΟΥΚΑΣ. Cf. 91, 1. De alia igitur regione dictum est 85, 2., ubi cf. adn. — ἐξέωσαν. „Ἐξωθεῖν est propria in hac re vox, et ἐξωθεῖν naves hostium dicuntur, qui eas ad terram urgent ac detrudunt.“ DUK. ad VII, 36., qui confert VII, 52. VIII, 104. 105. — διέφθειραν. Cf. adn. 84, 3.

§. 6. Ἀναδούμενοι. Cf. adn. I, 50, 1. — αὐτοῖς ἀνδράσι. Cf. Matth. Gr. §. 405. adn. 3. Rost. Gr. §. 106. adn. 1. IV, 14. — τὰς δέ τινας. Cf. Matth. Gr. §. 288. 2. et 91, 3. — οἱ Μεσσήνιοι. Cf. §. 3. — ἐπεσβαίνοντες ... ἐς τὴν θάλασσαν. Eadem verba paulo aliter collocata IV, 14, 2. leguntur.

Ἀθηναίων ἐς Ναύπακτον φευγούσας ταράσσονται καὶ ἐφίστανται.

κον τὰς ἕνδεκα ναῦς τῶν Ἀθηναίων, αἵπερ ὑπεξ-
έφυγον τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν. καὶ
φθάνουσιν αὐτοὺς πλὴν μιᾶς νεὼς προκαταφυ-
γοῦσαι ἐς τὴν Ναύπακτον, καὶ ἴσχουσαι ἀντίπρω-
ροι κατὰ τὸ Ἀπολλώνιον παρεσκευάζοντο ἀμυ-
2 νούμενοι, ἢν ἐς τὴν γῆν ἐπὶ σφᾶς πλέωσιν. οἱ δὲ
παραγενόμενοι ὕστερον ἐπαιώνιζόν τε ἅμα πλέον-
τες ὡς νενικηκότες, καὶ τὴν μίαν ναῦν τῶν Ἀθη-
ναίων τὴν ὑπόλοιπον ἐδίωκε Λευκαδία ναῦς μία
3 πολὺ πρὸ τῶν ἄλλων. ἔτυχε δὲ ὁλκὰς ὁρμοῦσα
μετέωρος, περὶ ἣν ἡ Ἀττικὴ ναῦς φθάσασα [καὶ
περιπλεύσασα] τῇ Λευκαδίᾳ διωκούσῃ ἐμβάλλει
4 μέσῃ καὶ καταδύει. τοῖς μὲν οὖν Πελοποννησίοις

Ἐπιστροφήν. Pro hoc in plurimis et optimis membranis ὑποστροφήν. At cf. 90, 5. et ἐπιστρέψαντες 90, 4.

Αὐτούς. Cf. adn.

Ἴσχουσαι. Σχοῦσαι Cass., Aug. corr., Cl. pr. man., Mosqu. „Non male.“ GOTTL. Similiter σχόντες κατὰ τὸ Ποσειδώνιον IV, 129. et aoristi notio facile alicui sola apta videatur, quia dicendum sit: quum appulissent. Cf. tamen sd. I, 51. et 52.

Τὸ Ἀπολλώνιον. Τό om. Cass. Aug. Cl. Ven. Pal. It. Vat. Bekk. At alibi semper talia τεμενικά articulo etiam post praepositiones sunt instructa. Cf. I, 24. III, 75. IV, 110. V, 66. VII, 29. al.

§. 3. Καὶ περιπλεύσασα om. It. Vat. Bekk. et s. v. al. man. habent H. et I. In F. καὶ διαπλεύσασα, in Lugd. καὶ περιπλέουσα. Cf. adn.

Cap. XCI. §. 1. Ὑπεξέφυγον ... εὐρυχωρίαν. Cf. adn. 90, 5. — αὐτούς. Cf. adn. I, 110, 4. Frustra Reg. et Gr. αὐτάς. — ἴσχουσαι ... κατά. Vid. adn. I, 110, 4. et sd. Ἀντίπρωροι est proris contra hostem versis. Cf. IV, 8, 14. al. — κατὰ τὸ Ἀπολλώνιον] „ἱερὸν Ἀπόλλωνος ἐν τῷ λιμένι.“ Schol. Ἀπολλώνιον βραχέως τὸ ἱερὸν τοῦ Ἀπόλλωνος· οὕτω καὶ παρὰ Θουκυδίδῃ ἀναγνωστέον. Suid. et al. grammat. Cf. Duk. et Lob. ad Phryn. p. 367.

§. 2. Ἐπαιώνιζον. Cf. adn. I, 50, 5. — ἅμα πλέοντες. Cf. Rost. Gr. §. 130. adn. 3. — Λευκαδία ναῦς μία. Duas commemorat Polyaen. III, 4, 3. etiam in proximis conferendus.

§. 3. Μετέωρος. Cf. adn. I, 48, 2. — περὶ ἣν ... περιπλεύσασα. Si verba καὶ περιπλεύσασα, de quibus cf. sd., supposita sunt, statuendum est genus dicendi φθάνειν περί τι, quod simili φθάνειν εἴς τι apud Arri. Anab. VI, 7, 3. et Greg. Cor. p. 846. tuetur Bloomf. Add. φθάνειν ἐπί τι Appi. Syr. 36. Sin illa germana sunt, scriptor, quum participio φθάσασα uti constituisset, ne φθάσασα περιπλεύσασα diceret, copulam addidisse (cf. λαθόντες καὶ διακόψαντες 4, 4.) existimandus est, περί autem ad remotius περιπλεύσασα referri potest, ita ut φθάσασα καί

γενομένου τούτου ἀπροσδοκήτου τε καὶ παρὰ λόγον φόβος ἐμπίπτει· καὶ ἅμα ἀτάκτως διώκοντες διὰ τὸ κρατεῖν αἱ μέν τινες τῶν νεῶν καθεῖσαι τὰς κώπας ἐπέστησαν τοῦ πλοῦ, ἀξύμφορον δρῶντες πρὸς τὴν ἐξ ὀλίγου ἀντεξόρμησιν, βουλόμενοι τὰς πλείους περιμεῖναι, αἱ δὲ καὶ ἐς βράχεα ἀπειρίᾳ χωρίων ὤκειλαν.

ἔπειτα δὲ διωκόμενοι ὑπὸ τῶν Ἀθηναίων ἐς Πάνορμον ἀναχωροῦσιν, ὅθεν ἐςπλέουσιν ἐς τὸν Κρισαῖον κόλπον καὶ Κόρινθον.

92. Τοὺς δὲ Ἀθηναίους ἰδόντας ταῦτα γι- 1
γνόμενα θάρσος τε ἔλαβε, καὶ ἀπὸ ἑνὸς κελεύσματος ἐμβοήσαντες ἐπ' αὐτοὺς ὥρμησαν. οἱ δὲ διὰ τὰ ὑπάρχοντα ἁμαρτήματα καὶ τὴν παροῦσαν ἀταξίαν ὀλίγον μὲν χρόνον ὑπέμειναν, ἔπειτα δὲ ἐτράποντο ἐς τὸν Πάνορμον, ὅθενπερ ἀνηγάγον-

§. 4. Ἀντεξόρμησιν. Laur. E. m. ἀντεφόρμησιν. Cf. adn.
Cap. XCII. §. 1. Κελεύσματος. Laur. Vind. Bekk. κελεύματος. At his paucis exiguae auctoritatis libris hac in re non est obsequendum. Vide ed. mai. et Lob. ad Soph. Ai. v. 704. p. 323.

interposita sint διὰ μέσον. Cf. adn. III, 68.

§. 4. Διώκοντες et paulo post δρῶντες. Cf. adn. ad αὐτούς §. 1. — καθεῖσαι τὰς κώπας, demissis remis. Cf. Liv. XXXVI, 44: demittere in aquam remos ab utroque latere stabiliendae causa navis iussit. — ἐπέστησαν τοῦ πλοῦ, propr. substiterunt in cursu, inhibuerunt cursum, uno verbo inhibuerunt. De genitivo vid. Matth. Gr. §. 353. 3. et 355. 4. Rost. §. 108. 5. c. — ἀξύμφορον, rem inutilem, i. e. per μείωσιν aut sibi perniciosam, aut stultam. Hoc probat Goell., et ita sane ἀχρεῖος Hom. Il. β΄. v. 269., ubi vid. interpr. At illo modo ἀξύμφορος, ἀνωφελής, similia saepe apud Atticos. Cf. hic Bloomf. et Stallb. ad Plat. Protag. p. 334. A., sicut de Latino inutilis praeter eos, quos hic citat Gottl., Heusing. ad Cic. de Off. III, 13, 12. — πρὸς τὴν ... ἀντεξόρμησιν, propter (propr. quod attinet ad, si respicimus ad) incursionem, quam hostis ex brevi spatio in ipsas erat facturus, Port. Ἐξ ὀλίγου similiter atque δι' ὀλίγου 89, 9. Ἀντεξόρμησιν, quod nomen verbi ἀντεξορμεῖν de incursione navali aliquoties a Dione Cass. positi exemplis tuetur Bloomf., non commutandum propter 89, 9. cum voce ἀντεφόρμησιν; nam ibi de classe hostili ante pugnam stationem adversus hostes sive ad hostes speculandos habenti agitur, hic in narratione pugnae illae undecim naves ad litus appulsae §. 1. ob ea, quae ibi de iis addita sunt, vix apte dicantur ἐφορμεῖν. — βράχεα, vada, quae Latini quoque brevia nominant. Cf. Lob. ad Phryn. p. 537. — ὤκειλαν. Hic intransitivum est, transitivum IV, 12. et ἐποκέλλειν IV, 26.

Cap. XCII. §. 1. Ἀπὸ ἑνὸς κελεύσματος. Cf. adn. 90, 4. et Wessel. ad Diod. I. p. 211., denique sd. — τὸν Πάνορμον. Cf. 86, 1. et ibi adn.

2 το. ἐπιδιώκοντες δὲ οἱ Ἀθηναῖοι τάς τε ἐγγὺς
οὔσας μάλιστα ναῦς ἔλαβον ἕξ, καὶ τὰς ἑαυτῶν
ἀφείλοντο, ἃς ἐκεῖνοι πρὸς τῇ γῇ διαφθείραντες
τὸ πρῶτον ἀνεδήσαντο· ἄνδρας τε τοὺς μὲν ἀ-
3 πέκτειναν, τινὰς δὲ καὶ ἐζώγρησαν. ἐπὶ δὲ τῆς
Λευκαδίας νεώς, ἣ περὶ τὴν ὁλκάδα κατέδυ, Τι-
μοκράτης ὁ Λακεδαιμόνιος πλέων, ὡς ἡ ναῦς
διεφθείρετο, ἔσφαξεν αὑτόν, καὶ ἐξέπεσεν ἐς τὸν
4 Ναυπακτίων λιμένα. ἀναχωρήσαντες δὲ οἱ Ἀθη-
ναῖοι τροπαῖον ἔστησαν, ὅθεν ἀναγόμενοι ἐκρά-
τησαν, καὶ τοὺς νεκροὺς καὶ τὰ ναυάγια, ὅσα πρὸς
τῇ ἑαυτῶν ἦν, ἀνείλοντο, καὶ τοῖς ἐναντίοις τὰ
5 ἐκείνων ὑπόσπονδα ἀπέδοσαν. ἔστησαν δὲ καὶ οἱ
Πελοποννήσιοι τροπαῖον ὡς νενικηκότες τῆς τρο-
πῆς, ἃς πρὸς τῇ γῇ ναῦς διέφθειραν· καὶ ἥνπερ
ἔλαβον ναῦν, ἀνέθεσαν ἐπὶ τὸ Ῥίον τὸ Ἀχαϊκὸν
6 παρὰ τὸ τροπαῖον. μετὰ δὲ ταῦτα φοβούμενοι
τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν ὑπὸ νύκτα ἐς-

§. 3. Αὑτόν. Sic aut αὐτόν libri praestantissimi. Vulgo et Bekk. ἑαυτόν.

§. 4. Ἀναγόμενοι. Laur. Chr. ἀναγαγόμενοι. Cf. sd. I, 51.

§. 2. Διαφθείραντες ... ἀνεδήσαντο. Cf. 90, 5. 6. et ibi adn.

§. 3. Τιμοκράτης. Cf. 85, 1. — ἔσφαξεν αὑτόν. Haud dubie ignominiosum existimans perire in mari, vel timens, ne in potestatem veniret hostium. — ἐξέπεσεν, delatus est, vel proprie (a mari) eiectus est. Ita ἐκπίπτειν non raro eiici in terram valet apud Thuc. et Xenoph. Cf. VII, 74. VIII, 34. al. Ἐκφέρεσθαι de navium fragmentis in portum delatis legimus I, 54.

§. 4. Ὅθεν ... ἐκράτησαν. Κατὰ τὸ Ἀπολλώνιον 91, 1. — τῇ ἑαυτῶν. Cf. adn. I, 44, 1. et II, 7, 1. et cum omnibus verbis I, 54, 1.

§. 5. Τροπαῖον ... τῆς τροπῆς. Haec inter se iungenda. Cf. VII, 54. Τροπαῖον τροπῆς est dicendi ratio similis verbis ὑπώρεια ὄρους et aliis, quae collegit Lob. ad Soph. Ai. v. 254. et Paral. Gr. II. p. 537. Cf. etiam ναύσταθμον πλοίων III, 6. — ἃς ... διέφθειραν. „Haec verba, τῆς τροπῆς, ἃς πρὸς τῇ γῇ ναῦς διέφθειραν, non aliter accipienda, quam si dictum esset, τῆς τροπῆς τῶν νεῶν, ἃς πρὸς τῇ γῇ διέφθειραν.“ STEPH. De omisso demonstrativo cf. adn. 40, 4. — ἥνπερ ... ναῦν. Vid. 90, 6. — ἀνέθεσαν. „Neptuno, cui erat exstructum ibi templum. Vid. Strab. p. 335.“ GOTTL. De re cf. adn. 84, 4.

§. 6. Φοβούμενοι cet. De

ἔπλευσαν ἐς κόλπον τὸν Κρισαῖον καὶ Κόρινθον
πάντες πλὴν Λευκαδίων. καὶ οἱ ἐκ τῆς Κρήτης 7
Ἀθηναῖοι ταῖς εἴκοσι ναυσίν, αἷς ἔδει πρὸ τῆς
ναυμαχίας τῷ Φορμίωνι παραγενέσθαι, οὐ πολλῷ
ὕστερον τῆς ἀναχωρήσεως τῶν νεῶν ἀφικνοῦνται
ἐς τὴν Ναύπακτον. καὶ τὸ θέρος ἐτελεύτα.

ὕστερον δὲ ἀποπειράσοντες τοῦ Πειραιῶς πεζῇ ἴασιν ἐς Νίσαιαν, καὶ ἐκ ταύτης ἀναγαγόμενοι Σαλαμῖνα πορθοῦσιν.

93. Πρὶν δὲ διαλῦσαι τὸ ἐς Κόρινθόν τε καὶ 1
τὸν Κρισαῖον κόλπον ἀναχωρῆσαν ναυτικόν, ὁ
Κνῆμος καὶ ὁ Βρασίδας καὶ οἱ ἄλλοι ἄρχοντες
τῶν Πελοποννησίων, ἀρχομένου τοῦ χειμῶνος,
ἐβούλοντο, διδαξάντων Μεγαρέων, ἀποπειρᾶσαι
τοῦ Πειραιῶς τοῦ λιμένος τῶν Ἀθηναίων· ἦν δὲ
ἀφύλακτος καὶ ἄκληστος, εἰκότως, διὰ τὸ ἐπικρα-
τεῖν πολὺ τῷ ναυτικῷ. ἐδόκει δὲ λαβόντα τῶν 2
ναυτῶν ἕκαστον τὴν κώπην καὶ τὸ ὑπηρέσιον καὶ
τὸν τροπωτῆρα πεζῇ ἰέναι ἐκ Κορίνθου ἐπὶ τὴν
πρὸς Ἀθήνας θάλασσαν, καὶ ἀφικομένους κατὰ
τάχος ἐς Μέγαρα, καθελκύσαντας ἐκ Νισαίας τοῦ
νεωρίου αὐτῶν τεσσαράκοντα ναῦς, αἳ ἔτυχον αὐ-

§. 7. Αἷς. F. ἃς. At vid. adn.

re cf. Diod. XII, 48. extr., de v. Ἀθηναίων sd. I, 110, 4.

§. 7. Οἱ ἐκ τῆς Κρήτης Ἀθηναῖοι. Cf. 85, 5. 6. et de praepositione adn. I, 8, 2. — αἷς. Cf. Matth. Gr. §. 391. 2. Rost. §. 105. adn. 9. Quanquam ne opus quidem est hac explicatione, quum ad ἔδει etiam subaudias αὐτούς. Nec alibi apud Thucydidem δεῖ μοι ποιεῖν τι vel similia legi meminimus.

Cap. XCIII. Cf. Diod. XII, 49., qui in tempore, quo haec gesta sint, indicando parum diligens est. — §. 1. ἀποπειρᾶσαι τοῦ Πειραιῶς. Similiter ἀποπειρᾶσαι τοῦ παρατειχίσματος VII, 43. Saepius simplex sic legitur. Cf. adn. I, 61, 4. — τοῦ Πειραιῶς τοῦ λιμένος. De articulo duplicato hic et 94, 3. vid. adn. 67, 2. — ἀφύλακτος. Cf. §. 3. — ἄκληστος. Cf. adn. 94, 4. — εἰκότως. Cf. adn. I, 77, 5. — ἐπικρατεῖν. Suppl. τοὺς Ἀθηναίους.

§. 2. Ἕκαστον τὴν (suam) κώπην. Hinc remos singulos singulis remigibus attributos esse Arn. docet. — τὸ ὑπηρέσιον] „ὑπηρέσιόν ἐστι τὸ κῶας, ᾧ ἐπικάθηνται οἱ ἐρέσσοντες διὰ τὸ μὴ συντρίβεσθαι αὐτῶν τὰς πυγάς.“ Schol. Cf. Suid. Phot., Poll. et hic Bloomf. et Arn., item Bishop. apud Arn. II. p. 466. sq. In iisdem pulvinis remiges extra naves dormivisse suspicatur Thirw. Hist. Gr. c. 20. adn. — τροπωτῆρα. „Lorum, quo remus ad scalmum [s. paxillum] alligatur. Etym. [p. 769, 19. et Phot. p. 445.]: τροπωτῆρες, οἱ ἱμάντες οἱ ἐν τοῖς πλοίοις, ἐν οἷς

3 τόθι οὖσαι, πλεῦσαι εὐθὺς ἐπὶ τὸν Πειραιᾶ. οὔτε
γὰρ ναυτικὸν ἦν προφυλάσσον ἐν αὐτῷ οὐδέν,
οὔτε προσδοκία οὐδεμία, μὴ ἄν ποτε οἱ πολέμιοι
ἐξαπιναίως οὕτως ἐπιπλεύσειαν· ἐπεὶ οὔτ' ἀπὸ τοῦ
προφανοῦς τολμῆσαι ἂν καθ' ἡσυχίαν, οὐδέ, εἰ
4 διενοοῦντο, μὴ οὐκ ἂν προαισθέσθαι. ὡς δὲ
ἔδοξεν αὐτοῖς, καὶ ἐχώρουν εὐθύς· καὶ ἀφικόμε-
νοι νυκτὸς καὶ καθελκύσαντες ἐκ τῆς Νισαίας
τὰς ναῦς ἔπλεον ἐπὶ μὲν τὸν Πειραιᾶ οὐκέτι,
ὥςπερ διενοοῦντο, καταδείσαντες τὸν κίνδυνον,

Cap. XCIII. §. 3. Οὔτ' ... οὐδέ. Vulgo οὐδ' ... οὐδέ. De quibus particulis adhuc complures grammatici male explicant, sicut Buttmannus §. 149. 15. οὔτε ... οὔτε magis copulandi, οὐδὲ ... οὐδέ disiungendi vim habere perperam dicit. Melius Matth. Gr. §. 609. 1. a. et Rost. §. 134. 6. f. Cf. Engelh. ad Plat. Lach. §. 25. et Frid. Franke de usu particul. οὐδέ et μηδέ. Hic οὔτ' ... οὔτε de coniectura edidit Bekk. Nos pro altero οὐδέ reponi οὔτε necessarium non existimavimus; nam οὔτε ... οὐδέ hic non male inter se respondeant. Cf. Matth. Gr. §. 609. 1. c. β'. Rost. §. 134. d.

Προαισθέσθαι. Προαίσθεσθαι It. Vat. Bekk. Quod praesens e paucis libris Bekker etiam V, 26. et VII, 75. recepit, III, 83. non item. Cf. Buttm. Gr. max. Ind. verb.

αἱ κῶπαι περὶ τοὺς σκαλμοὺς περιδέονται.“ GOTTL. Cf. Bloomf. ad Aesch. Pers. v. 382. Apud Homerum τροπός, hodie τροπωτῆρι, Latinis struppus. De natura et usu eius disputat Bishop. l. d. p. 463. sqq. Adhuc in scaphis Graecis loro e corio facto mediam partem remi una cum paxillo circumdari docet Leak. de Pag. Att. p. 139. sq. imaginem remi Graeci delineans.

§. 3. Μή. Cf. adn. II, 13, 1. — μὴ ἂν ... ἐπιπλεύσειαν, i. e. μή, εἰ ἐπιπλεύσειαν, ἐξαπιναίως οὕτως ἐπιπλεύσειαν ἄν. Cf. Matth. Gr. §. 520. adn. 2. p. 1192. Rost. §. 122. adn. 5. a. interpr. Xen. Anab. VI, 1, 28. — ἐπεὶ οὔτ' προαισθέσθαι. Nam nec aperte eos ausuros esse (adnavigare) quiete (i. e. se rem non prohibentibus), neque, si in animum inducerent, se non praesensuros. De particulis οὔτε ... οὐδέ vid. sd. De infinitivis vid. Matth. Gr. §. 537. p. 1253. Rost. §. 121. adn. 4. De formula ἀπὸ τοῦ προφ. cf. adn. I, 35, 4. Verba καθ' ἡσυχίαν, per otium, quae saepe apud Thuc. leguntur, velut I, 83. IV, 22. 117. VII, 40. 73. 74. VIII, 27., non semper quidem plane eandem vim habent, sed aliquoties certe significant nullo prohibente. Ad διενοοῦντο noli subaudire ἀπὸ τοῦ προφ. τολμῆσαι, sed solum τολμῆσαι (ἐπιπλεῦσαι). Denique de partic. μὴ οὐκ cf. Thiersch. Gr. §. 338. 13. et Bellerm. de Graec. verb. tim. struct. p. 21. sq. Oratio vulgaris esset, si ante eas οἷόν τε εἶναι vel similia addita legerentur. Cf. Rost. Gr. §. 135. 7. b. β'.

§. 4. Καὶ ἐχώρουν εὐθύς. Καί, etiam, ab initio apo-

(καί τις καὶ ἄνεμος λέγεται αὐτοὺς κωλῦσαι) ἐπὶ δὲ τῆς Σαλαμῖνος τὸ ἀκρωτήριον τὸ πρὸς Μέγαρα ὁρῶν· καὶ φρούριον ἐπ' αὐτοῦ ἦν καὶ νεῶν τριῶν φυλακὴ τοῦ μὴ ἐςπλεῖν Μεγαρεῦσι, μηδ' ἐκπλεῖν μηδέν· τῷ τε φρουρίῳ προςέβαλον, καὶ τὰς τριήρεις ἀφείλκυσαν κενάς, τήν τε ἄλλην Σαλαμῖνα ἀπροσδοκήτοις ἐπιπεσόντες ἐπόρθουν.

ἐν Ἀθήναις μεγίστη γίγνεται ἔκπληξις· βοηθησάντων γε μέντοι αὐτῶν οἱ Πελοποννήσιοι ἐπὶ Νισαίας κἄπειτα ἐπὶ Κορίνθου ἀποχωροῦσι.

94. Ἐς δὲ τὰς Ἀθήνας φρυκτοί τε ἤροντο 1
πολέμιοι, καὶ ἔκπληξις ἐγένετο οὐδεμιᾶς τῶν κατὰ τὸν πόλεμον ἐλάσσων. οἱ μὲν γὰρ ἐν τῷ ἄστει ἐς τὸν Πειραιᾶ ᾤοντο τοὺς πολεμίους ἐςπεπλευκέναι ἤδη, οἱ δ' ἐν τῷ Πειραιεῖ τήν τε Σαλαμῖνα ᾑρῆσθαι ἐνόμιζον, καὶ παρὰ σφᾶς ὅσον οὐκ ἐςπλεῖν αὐτούς· ὅπερ ἄν, εἰ ἐβουλήθησαν μὴ κατοκνῆσαι, ῥᾳδίως ἂν ἐγένετο, καὶ οὐκ ἂν ἄνεμος ἐκώλυσε. βοηθήσαντες δὲ ἅμ' ἡμέρᾳ 2
πανδημεὶ οἱ Ἀθηναῖοι ἐς τὸν Πειραιᾶ ναῦς τε καθεῖλκον, καὶ ἐςβάντες κατὰ σπουδὴν καὶ πολλῷ θορύβῳ ταῖς μὲν ναυσὶν ἐπὶ τὴν Σαλαμῖνα ἔπλεον, τῷ πεζῷ δὲ φυλακὰς τοῦ Πειραιῶς καθίσταντο.
3 οἱ δὲ Πελοποννήσιοι ὡς ᾔσθοντο τὴν βοήθειαν, καταδραμόντες τῆς Σαλαμῖνος τὰ πολλὰ καὶ ἀνθρώπους καὶ λείαν λαβόντες καὶ τὰς τρεῖς ναῦς ἐκ τοῦ Βουδόρου τοῦ φρουρίου κατὰ τάχος ἐπὶ τῆς Νισαίας ἔπλεον· ἔστι γὰρ ὅ τι καὶ αἱ νῆες αὐτοὺς διὰ χρόνου καθελκυσθεῖσαι καὶ οὐδὲν στέγουσαι ἐφόβουν. ἀφικόμενοι δὲ ἐς τὰ Μέγαρα πάλιν ἐπὶ
4 τῆς Κορίνθου ἀπεχώρησαν πεζῇ. οἱ δ' Ἀθηναῖοι οὐκέτι καταλαβόντες πρὸς τῇ Σαλαμῖνι ἀπέπλευσαν καὶ αὐτοί· καὶ μετὰ τοῦτο φυλακὴν ἅμα τοῦ Πειραιῶς μᾶλλον τὸ λοιπὸν ἐποιοῦντο λιμένων τε κλήσει καὶ τῇ ἄλλῃ ἐπιμελείᾳ.

Σιτάλκης ὁ Ὀδρύσης στρατεύει ἐ-

1 **95.** Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ χειμῶνος τούτου ἀρχομένου Σιτάλκης ὁ Τήρεω, Ὀδρύσης,

dosis est positum. Similia verba leguntur IV, 8. VIII, 1. 8. Cf. Hart. de Part. I. p. 130. — *καὶ φρούριον ἐπ' αὐτοῦ ἦν.* Oratio in brevia incisa distracta est, quum proprie sic deberet procedere: in quo erat castellum; aut: in quo quum esset castellum, adorti sunt. Si pro partic. *ὁρῶν* legeretur *ὃ ἑώρα*, transitus ad demonstrativum usitatus esset. Ipsum castellum, ut promontorium, vocabatur Budorum. Cf. 94, 3. III, 51. Krus. Hell. II. 1. p. 305. Leak. de Pag. Att. p. 157. — *ἐςπλεῖν ... ἐκπλεῖν.* Valent importari et exportari, qua vi *ἐςπλεῖν* non raro legitur. Vid. III, 51. IV, 27. VIII, 90. Demosth. adv. Lept. p. 466. Ceterum cf. adn. I, 4. — *τὰς τριήρεις ... κενάς*, i. e. *ὥςτε εἶναι κενάς.* Cf. adn. I, 49, 5. — *ἀπροσδοκήτοις.* Suppl. *τοῖς Σαλαμινίοις.*

Cap. XCIV. §. 1. *Φρυκτοὶ ... πολέμιοι*] „*λαμπάδες πολεμίους δηλοῦσαι. φρυκτοί εἰσι λαμπάδες τινὲς ἀπὸ ξύλων γινόμεναι, ἅςτινας βαστάζοντες ἄνωθεν τῶν τειχῶν ἐσήμαινον τοῖς πλησιοχώροις ἢ τοῖς συμμάχοις, ὅταν τινὰς ἑώρων πολεμίους ἐπιόντας, ὡς ὅτι δεῖ προφυλάξασθαι· ἀλλὰ καὶ ἐπὶ φίλων, ὅταν ἑώρων βοήθειαν ἐρχομένην, ἐσήμαινον πάλιν διὰ τῶν φρυκτῶν. καὶ ὅταν μὲν φίλους ἐδήλουν, ἐβάσταζον τοὺς φρυκτοὺς ἠρεμοῦντες· ὅταν δὲ πολεμίους, ἐκίνουν τοὺς φρυκτούς.*“ Schol. „*Αἴρειν φρυκτόν* idem est ac *πυρσεύειν*; (ita Diod. XII, 49.) item *φρυκτωρεῖν.*“ GOTTL. Cf. quos citant Bloomf. et alii in ed. mai. et III, 22, 7. 80, 2. et ibi adn. — *οὐδεμιᾶς ... ἐλάσσων*, i. e. *οὐκ ἐλάσσων μιᾶς (οὐδεμιᾶς).* Cf. I, 91, 5. VII, 29, 5. 30, 4. 71. 85. al. in ed. mai. c. — *τὸν πόλεμον.* Cf. adn. 31, 3. — *ὅσον οὐκ.* Cf. adn. I, 36. — *ἐςπλεῖν.* Cf. Rost. Gr. §. 116. adn. 8. — *ἂν ... ἄν.* Cf. adn. I, 76, 4.

Cap. XCIV. §. 3. *Ἔστι γὰρ ὅ τι. Ὅ τι* ex Abreschii coniectura repositum est. Libri mss. *ὅτε.* At *ἔστιν ὅτε* significat nonnunquam, sed hic dicendum est nonnihil.

Πεζῇ Laur. E. Vind. m. Ar. Chr. Dan. Vulgo *πεζοί*, quod tali modo Thucydidem nunquam dixisse iam Wass. ad I, 143., etsi huius exempli non memor, affirmavit. Contra *πεζῇ ἰέναι, πορεύεσθαι*, similia leguntur I, 26. 137. 143. II, 93. III, 3. alibi saepe.

§. 3. *Ἔστι ... ὅ τι.* Cf. sd. — *διὰ χρόνου*, aliquo temporis intervallo (interiecto), post aliquod temporis intervallum. Cf. Bernh. Synt. p. 235. et Stallb. ad Plat. Hipp. mai. init. — *οὐδὲν στέγουσαι.* Port.: quae aquarum vim ferre non poterant. Cf. hic Bloomf. et Blomf. ad Aesch. Prom. v. 204.

§. 4. *Φυλακὴν ... τοῦ Πειραιῶς.* „Diod. l. c. *τὸν δὲ Πειραιᾶ κλείθροις καὶ φυλακαῖς ἱκαναῖς διαλαβόντες* (custodiis opportunis locis collocatis) *ὠχύρωσαν.* Hesych. in *Ζέα: ἔχει δὲ ὁ Πειραιεὺς λιμένας τρεῖς κλειστούς.* Vid. Wessel. ad h. l.“ GOTTL. Quales fingendi sint *κληστοὶ λιμένες*, et maxime Piraeei *κληστοῦ* qualis natura fuerit, accuratissime docet Leak. Athen. p. 338. sq. Cf. IV, 8. VII, 59. De tribus Piraeei portibus vid. adn. I, 93, 5. — *ἅμα.* Videtur traiectum et ad verba *λιμένων τε κλήσει καὶ τῇ ἄλλῃ ἐπιμελείᾳ* referendum esse, ut *ἅμα ... τε ... καί*, quemadmodum saepe, inter se cohaereant. Vulgo *ἤδη*, quod, quia vis huius *ἅμα* ab interpretibus explicata non sit, tuetur Haas. Lucubr. Thuc. p. 3. sq. At *ἅμα* in quindecim libris mss., in quibus septem optimi sunt, invenitur.

Cap. XCV. sqq. Cf. Diod. XII, 50. — §. 1. *Σιτάλκης ὁ Τήρεω.* Cf. 29, 1. adn. — *δύο*

πὶ Περδίκκαν Μακεδόνων βασιλέα. αἰτίαι ταύτης τῆς στρατείας.

Θρᾳκῶν βασιλεύς, ἐστράτευσεν ἐπὶ Περδίκκαν τὸν Ἀλεξάνδρου, Μακεδονίας βασιλέα, καὶ ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης, δύο ὑποσχέσεις, τὴν μὲν βουλόμενος ἀναπρᾶξαι, τὴν δὲ αὐτὸς ἀποδοῦναι. ὅ τε 2
γὰρ Περδίκκας αὐτῷ ὑποσχόμενος, εἰ Ἀθηναίοις τε διαλλάξειεν ἑαυτὸν κατ' ἀρχὰς τῷ πολέμῳ πιεζόμενον, καὶ Φίλιππον τὸν ἀδελφὸν αὐτοῦ, πολέμιον ὄντα, μὴ καταγάγοι ἐπὶ βασιλείᾳ, ἃ ὑπεδέξατο οὐκ ἐπετέλει· τοῖς τε Ἀθηναίοις αὐτὸς ὡμολογήκει, ὅτε τὴν ξυμμαχίαν ἐποιεῖτο, τὸν ἐπὶ Θρᾴκης Χαλκιδικὸν πόλεμον καταλύσειν. ἀμφοτέρων οὖν ἕνεκα τὴν 3
ἔφοδον ἐποιεῖτο, καὶ τόν τε Φιλίππου υἱὸν Ἀμύνταν ὡς ἐπὶ βασιλείᾳ τῶν Μακεδόνων ἦγε καὶ τῶν Ἀθηναίων [πρέσβεις], οἳ ἔτυχον παρόντες τούτων ἕνεκα, καὶ ἡγεμόνα Ἅγνωνα· ἔδει γὰρ καὶ τοὺς Ἀθηναίους ναυσί τε καὶ στρατιᾷ ὡς πλείστῃ ἐπὶ τοὺς Χαλκιδέας παραγενέσθαι.

Cap. XCV. §. 3. *Πρέσβεις* om. Cass. Cl. et corr. Aug., unde suspectum fit; potuit enim ab interpretibus addi ex 101, 1. Omisso tamen eo verba *οἳ … ἕνεκα* nimis nude posita videntur Haackio. A nobis maxime ob contrarium nomen *ἡγεμόνα* non est expunctum; nam etiam Hagnon *τούτων ἕνεκα* aderat, sed hic dux, ceteri legati.

ὑποσχέσεις. Cf. Matth. Gr. §. 288. adn. 8. et §. 319. Rost. §. 101. 3. b. — *ἀναπρᾶξαι*] „*εἰςπρᾶξαι, ἀπαιτῆσαι.*" Schol. Cf. VIII, 107.

§. 2. *Αὐτῷ ὑποσχόμενος.* „Quid Perdiccas promiserit, Thucydides non dixit. Itaque vertendum: certas quasdam promissiones fecerat. Sequitur *ἃ ὑπεδέξατο.*" GOTTL. — *Ἀθηναίοις … διαλλάξειεν ἑαυτόν.* Quod factum. Vid. 29, 6. — *Φίλιππον.* Is rexerat septentrionalem partem Macedoniae genti Temenidarum (cf. c. 99.) subiectae (vid. 100, 3.), sed expulsus fuerat a Perdicca, et iam ante Ol. LXXXVII. a. 4. videtur mortuus esse, quum Sitalces non ipsum, sed filium eius Amyntam in regnum esset restituturus. — *ἐπὶ βασιλείᾳ.* Cf. Matth. Gr. §. 586. η΄. — *τὸν ἐπὶ … καταλύσειν.* Cf. 29, 5. et Diod. l. c.

§. 3. *Ἀμύνταν*] „*Γένος Τημενιδῶν.* [vid. c. 99.]
Ἀλέξανδρος [*ὁ φιλέλλην, ὃς ἐγέννησε*]
Περδίκκαν *Φίλιππον*
Ἀρχέλαον *Ἀμύνταν*
Φίλιππον
Ἀλέξανδρον τὸν μέγαν, ὃς τὴν Περσῶν δυναστείαν κατέλυσεν." Schol.

„Sed omissi sunt quidam reges [regumque fratres et consobrini. Cf. adn. I, 57, 3. Plat. Gorg. p. 471. Sync. p. 462. al.] GOTTL. At haec omissio veritati illius genealogiae non officit. Vid. tamen Iustin. VII, 4, 3. — *Ἅγνωνα*]

1 96. Ἀνίστησιν οὖν ἐκ τῶν Ὀδρυσῶν ὁρμώμενος πρῶτον μὲν τοὺς ἐντὸς τοῦ Αἵμου τε ὄρους καὶ τῆς Ῥοδόπης Θρᾷκας, ὅσων ἦρχε μέχρι θαλάσσης, ἐς τὸν Εὔξεινόν τε πόντον καὶ τὸν Ἑλλήσποντον· ἔπειτα τοὺς ὑπερβάντι Αἷμον Γέτας καὶ ὅσα ἄλλα μέρη ἐντὸς τοῦ Ἴστρου ποταμοῦ πρὸς θάλασσαν μᾶλλον τὴν τοῦ Εὐξείνου πόντου κατῴκητο· (εἰσὶ δ' οἱ Γέται καὶ οἱ ταύτῃ ὅμοροί τε τοῖς Σκύθαις καὶ ὁμόσκευοι πάντες ἱπποτοξόται)
2 παρεκάλει δὲ καὶ τῶν ὀρεινῶν Θρᾳκῶν πολλοὺς τῶν αὐτονόμων καὶ μαχαιροφόρων, οἳ Δῖοι καλοῦνται, τὴν Ῥοδόπην οἱ πλεῖστοι οἰκοῦντες· καὶ τοὺς μὲν μισθῷ ἔπειθεν, οἱ δ' ἐθελονταὶ ξυνη-
3 κολούθουν. ἀνίστη δὲ καὶ Ἀγριᾶνας καὶ Λαιαίους καὶ ἄλλα ὅσα ἔθνη Παιονικά, ὧν ἦρχε· καὶ ἔσχατοι τῆς ἀρχῆς οὗτοι ἦσαν μέχρι Γρααίων Παι-

κατάλογος τῶν ὑπὸ Σιτάλκῃ στρατευομένων φύλων.

Cap. XCVI. §. 3. *Μέχρι Γρααίων Παιόνων* Bekk. Vulgo

„*οὗτος ἔκτισε τὴν Ἀμφίπολιν.*" Schol. Vid. IV, 102.

Cap. XCVI. §. 1. *Ἀνίστησιν.* Cf. adn. 68, 1. — *ἐντός,* cis; nam paulo post *τοῖς ἐντὸς τοῦ Αἵμου Θρᾳξί* contrarii ponuntur *οἱ ὑπερβάντι Αἷμον Γέται.* — *τοῦ Αἵμου ὄρους.* Cf. adn. 19, 2. — *Ῥοδόπης.* Nunc Despottaghi, Despotodag, Despoto. — *ἐς,* i. e. *μέχρι, ἕως.* — *τοὺς ὑπερβάντι Αἷμον Γέτας.* De dat. cf. Rost. Gr. §. 105. 2. p. 511. et adn. I, 24, 1. Getae tunc inter Haemum et Danubium habitabant. Cf. Herodot. IV, 93. Hos quoque origine Thraces fuisse docet Muell. de Maced. p. 35. 39. De recentiore eorum historia vid. Niebuhr. Script. hist. et philol. I. p. 374. sqq. — *καὶ ὅσα … κατῴκητο,* et quaecunque aliae nationes cis Istrum (et quidem) ad Pontum Euxinum magis (quam in mediterranea) vergentes incolebant. „*Μέρη· γένη· ἐθνῶν* δηλονότι." Schol. Nisi forte aut *γένη* aut *ἔθνη* legendum est. Verba *θάλασσα ἡ τοῦ Εὐξείνου πόντου* eo excusantur, quod *πόντος* cum illo *Εὔξεινος* in nomen regionis coaluit. Add. adn. IV, 24, 5. De flexione *κατῴκητο* vid. adn. I, 120, 2. „Ceterum ex h. l. patet Thraciam Istro a Scythia boream versus disiunctam fuisse. Vid. Gatterer. [Thrac. p. 17. ed. Schlichth.]" GOTTL. — *ὁμόσκευοι,* cultu similes, Port. Cf. III, 95.

§. 2. *Τῶν ὀρεινῶν … τῶν αὐτονόμων.* Ab his distinguuntur 101, 3. *ὅσοι πεδία εἶχον, αὐτόνομοι πάντες.* — *μαχαιροφόρων, οἳ Δῖοι καλοῦνται.* Cf. VII, 27. *Θρᾷκας μαχαιροφόρους* commemorat etiam Xen. Cyr. VI, 2, 10. De Diis cf. Lips. ad Tac. Ann. IV, 46. et Niebuhr. l. d. p. 377.

§. 3. *Ἀγριᾶνας.* De his vid. Gatter. l. d. p. 113. et Mannert. Geogr. VII. p. 494. — *Λαιαίους.* Horum sedes vides paulo post definitas. — *ἄλλα …*

όνων καὶ τοῦ Στρυμόνος ποταμοῦ, ὃς ἐκ τοῦ
Σκόμβρου ὄρους διὰ Γρααίων καὶ Λαιαίων ῥεῖ, οὗ
ὡρίζετο ἡ ἀρχὴ τὰ πρὸς Παίονας αὐτονόμους ἤδη.
τὰ δὲ πρὸς Τριβαλλούς, καὶ τούτους αὐτονόμους, 4
Τρῆρες ὥριζον καὶ Τιλαταῖοι. οἰκοῦσι δ' οὗτοι
πρὸς βορέαν τοῦ Σκόμβρου ὄρους καὶ παρήκουσι
πρὸς ἡλίου δύσιν μέχρι τοῦ Ὀσκίου ποταμοῦ. ῥεῖ
δ' οὗτος ἐκ τοῦ ὄρους, ὅθενπερ καὶ ὁ Νέστος καὶ
ὁ Ἕβρος· ἔστι δὲ ἔρημον τὸ ὄρος καὶ μέγα, ἐχό-
μενον τῆς Ῥοδόπης.

μέχρι Γρααίων καὶ Λαιαίων Παιόνων. Quae Gatterer p. 115. frustra ita defendit, ut duplex genus Laeaeorum statuat, alterum Odrysico imperio subiectum, alterum liberum. Cf. ed. mai. Nec bene Krueger ad Dion. p. 26. interpunctione mutata vulgatae succurrere studuit. Cf. Goell. In Mosqu. *μέχρι Γρα. καὶ Λαι. καὶ Παιόνων.* C. F. Bas. D. Laur. *μέχρι γὰρ Λαιαίων Παιόν.*, quod etiam in It. et Aug., in quo *μέχρι Γρααίων καὶ Λααίων* legitur, adnotatum est. I. *μέχρι γὰρ Λαιαίων καὶ Παιον.* Gr. E. *μέχρι γὰρ Γρααίων καὶ Λαι. Παιόνων.* Vind. *μέχρι Λαιαίων Παιόνων.* Ingeniose Arn. verbis *καὶ Λαιαίων* servatis et post *μέχρι* ex aliquot membranis particula *γάρ* restituta uncos voculae *οὗ* circumdedit iungens *μέχρι Γρααίων ... ὡρίζετο.* Cf. I, 71, 4. et ibi adn. Neque tamen, unde illud *οὗ* in omnes libros irrepserit, apparet.

Σκόμβρου hic et infra Cass. Aug. (sed hic a corr.), pr. man. Cl., Chr. et *γρ.* m., quod ob Aristot. Meteor. I, 13. praetulimus. Vulgo et Bekk. *Σκομίου.*

ἔθνη Παιονικά. Cf. Herodot. V, 15. 16. Gatter. p. 108. sqq. Cousiner. Maced. p. 173. sqq. — *τοῦ Στρυμόνος ποταμοῦ.* Significatur huius fluvii cursus superior, de cuius fontibus cf. adn. ad cap. extr. — *Σκόμβρου.* Cf. sd. Mannert. Geogr. VII. p. 4., cui est Witoscha et Rulla, et p. 433., et Leak. Graec. sept. III. p. 474., qui dicit esse crebros et magnos vertices inter Ghiustendil et Sophiam sitos. Wistoska est etiam Grisebachio It. Rumel. II. p. 29. — *οὗ*, ubi, apud quos populos, vel quibus populis. — *τὰ πρὸς Παίονας*, ab ea parte, quae spectat Paeonas, a parte Paeonum. Cf. adn. III, 6, 1.

πους μὲν μὴ πέμπειν, μηδὲ διαμέλλειν καιρὸν
παριέντας, εἰ δὲ δοκεῖ αὐτοῖς ἀληθῆ εἶναι τὰ
ἀγγελλόμενα, πλεῖν ἐπὶ τοὺς ἄνδρας. καὶ ἐς Νι- 5
κίαν τὸν Νικηράτου, στρατηγὸν ὄντα, ἀπεσήμαι-
νεν ἐχθρὸς ὢν καὶ ἐπιτιμῶν ῥᾴδιον εἶναι παρα-
σκευῇ, εἰ ἄνδρες εἶεν οἱ στρατηγοί, πλεύσαντας
λαβεῖν τοὺς ἐν τῇ νήσῳ, καὶ αὐτός γ' ἄν, εἰ
ἦρχε, ποιῆσαι τοῦτο. 28. ὁ δὲ Νικίας τῶν τε 1
Ἀθηναίων τι ὑποθορυβησάντων ἐς τὸν Κλέωνα,
ὅτι οὐ καὶ νῦν πλεῖ, εἰ ῥᾴδιόν γε αὐτῷ φαίνεται,
καὶ ἅμα ὁρῶν αὐτὸν ἐπιτιμῶντα ἐκέλευεν ἥντινα
βούλεται δύναμιν λαβόντα τὸ ἐπὶ σφᾶς εἶναι
ἐπιχειρεῖν. ὁ δὲ τὸ μὲν πρῶτον οἰόμενος αὐτὸν 2
λόγῳ μόνον ἀφιέναι ἕτοιμος ἦν· γνοὺς δὲ τῷ
ὄντι παραδωσείοντα ἀνεχώρει καὶ οὐκ ἔφη αὐτὸς

Νικίας οὖν τῷ Κλέωνι παραχωρεῖ τῆς ἐπὶ Πύλῳ ἀρχῆς, ἣν οὗτος ἄκων ὑφίσταται, μεγαληγορεῖ γε μέντοι.

Cap. 28. §. 1. *Πλεῖ* T. a pr. man. et Chr. Dan. Bekk. Vulgatum *πλέει*, quod apud scriptores, qui sub imperatoribus Romanis vixerunt, non rarum iis quidem, quae a Buttm. in Gr. max. Ind. verb. v. *πλέω* et *δέω* dicta sunt, excusare Haack. conatur, et *πλέετε* legitur etiam in duobus optimis libris Xen. Anab. VII, 6, 37.; sed Thucydidem in verbo, quo sexcenties utitur, semel a more suo recessisse non est verisimile, et *πλεῖ* hic apud eum repertum esse a Plutarcho forsitan colligas ex Nic. c. 7. Ceterum cf. Lob. ad Phryn. p. 220.

(obenein) aliquanto magis animis propensos. Ex qua interpretatione apparet inutilem esse Kruegeri coniecturam *καὶ αὐτούς*. De *τὶ*, quod ab It. abest, cf. adn. c. 21. extr., de *ὡρμῆσθαι* adn. II, 59, 2.

§. 5. *Ἀπεσήμαινε*, obscure designabat. Duo alia exempla huius verbi similiter positi in Steph. Thes. reperiri adnotavit Bloomf. frustra *ὑπεσ.* legendum suspicatus. *Ἀποσημαίνειν ἔς τι* cum *ἀποβλέπειν ἔς τι* comparat Arn., et simplex *σημαίνειν* non ita raro cum hac praepositione iungitur. Cf. adn. II, 8, 3. — *ἐπιτιμῶν*, increpans, cum exprobratione dicens. Pendent ex hoc proxima *ῥᾴδιον εἶναι*, ut resurgere infinitivus ex increpandi verbo Tac. Ann. I, 39.

Cap. 28. Cum toto hoc cap. et cum extremis superioris verbis cf. Plut. Nic. c. 7.

§. 1. *Τῶν τε Ἀθηναίων ὑποθορυβησάντων ... καὶ ὁρῶν.* Cf. adnot. I, 65, 1. — *τὸ ἐπὶ σφᾶς εἶναι*, quod quidem ad se attineret. Pluralis *σφᾶς* ad Niciam eiusque collegas, reliquos *στρατηγούς*, refertur (cf. adn. III, 113, 2.). De accusativo vid. Herm. ad Vig. adn. 398. nos ad Xen. Cyr. I, 4, 13. Matth. Gr. §. 283. et §. 586. c. (dubia est scriptura Thuc. VIII, 48.), de infinitivo Reitz. ad Vig. adn. 178. Matth. l. prior. Rost. Gr. §. 122. 9. 3.), de tota formula etiam Arn. ad h. l. Deinde *ἐπιχειρεῖν* est rem aggredi.

§. 2. *Ἀνεχώρει*] *ἀντὶ τοῦ ἀνεδύετο.* Schol. Ubertatem verborum Thucydidis, qui intra pau-

ἀλλ' ἐκεῖνον στρατηγεῖν, δεδιὼς ἤδη καὶ οὐκ ἂν
3 οἰόμενός οἱ αὐτὸν τολμῆσαι ὑποχωρῆσαι. αὖθις
δὲ ὁ Νικίας ἐκέλευε καὶ ἐξίστατο τῆς ἐπὶ Πύλῳ
ἀρχῆς καὶ μάρτυρας τοὺς Ἀθηναίους ἐποιεῖτο. οἱ
δέ, οἷον ὄχλος φιλεῖ ποιεῖν, ὅσῳ μᾶλλον ὁ Κλέων
ὑπέφευγε τὸν πλοῦν καὶ ἐξανεχώρει τὰ εἰρημένα,
τόσῳ ἐπεκελεύοντο τῷ Νικίᾳ παραδιδόναι τὴν
4 ἀρχήν, καὶ ἐκείνῳ ἐπεβόων πλεῖν. ὥστε οὐκ ἔχων,
ὅπως τῶν εἰρημένων ἔτι ἐξαπαλλαγῇ, ὑφίσταται
τὸν πλοῦν· καὶ παρελθὼν οὔτε φοβεῖσθαι ἔφη
Λακεδαιμονίους, πλεύσεσθαί τε λαβὼν ἐκ μὲν
τῆς πόλεως οὐδένα, Λημνίους δὲ καὶ Ἰμβρίους
τοὺς παρόντας καὶ πελταστάς, οἳ ἦσαν ἔκ τε Αἴ-
νου βεβοηθηκότες, καὶ ἄλλοθεν τοξότας τετρα-
κοσίους· ταῦτα δὲ ἔχων ἔφη πρὸς τοῖς ἐν Πύλῳ
στρατιώταις ἐντὸς ἡμερῶν εἴκοσιν ἢ ἄξειν Λακε-
5 δαιμονίους ζῶντας, ἢ αὐτοῦ ἀποκτενεῖν. τοῖς δὲ
Ἀθηναίοις ἐνέπεσε μέν τι καὶ γέλωτος τῇ κου-

cos versus *ἀνεχώρει, ὑποχωρῆσαι, ὑπέφευγεν, ἐξανεχώρει, ἐξαπαλλαγῇ* dixerit, admirari nos iubet Bloomf. Primum est sich zurückziehen, alterum weichen, Platz machen, tertium sich entziehen, quartum sich herausziehen, etwas im Stich lassen, quintum sich losmachen, loskommen.

§. 3. *Ἐξίστατο*] *παρεχώρει.* Schol. De casu addito cf. Rost. Gr. §. 108. 5. c. — *ἐξανεχώρει τὰ εἰρημένα.* Accusativus ita positus est, ut apud *ὑποχωρεῖν* II, 88, 2., ubi cf. adn., et apud *ὑπεξελθεῖν* III, 34. „*Τὰ εἰρημένα* sunt illa, de quibus est in fine cap. praec.“ DUK. Ipsum *ἐξανεχώρει* Schol. interpretatur *ἀνεδύετο, ἀπέφευγεν*, Hesych. *λεληθότως ὑπέφευγεν.* — *τόσῳ.* Ex superiore membro mente repetendum *μᾶλλον.* Ipsum *τόσος* autem praecedente *ὅσος* non spernunt solutae orationis scriptores. Cf. VIII, 24, 4. Buttm. Gr. max. §. 79. 4. Saupp. ad Xen. de Vect. 4, 13.

§. 4. *Παρελθών.* Denuo in eadem concione. Cf. Bloomf. — *Λημνίους ... καὶ Ἰμβρίους.* Atheniensium colonos. Cf. VII, 57, 2. — *τοὺς παρόντας.* Similiter VII, 69, 2. colonorum et sociorum auxilia in urbe adesse videbimus. — *ἔκ τε Αἴνου ... τετρακοσίους.* De Aeno cf. VII, 57, 5. In verbis „scriptor, simul ad genus militum, simul ad patriam eorum respiciens, duas constructiones in unam contraxit; nam aut *καὶ ἔκ τε Αἴνου βεβοηθηκότας πελταστὰς καὶ ἄλλοθεν τοξότας* dicendum erat, aut *καὶ* (i. e. *ἔτι δὲ*) *πελταστάς τε, οἳ ἦσαν ἐξ Αἴνου βεβοηθηκότες, καὶ ἄλλοθεν τοξότας.*“ HAACK. et ARN. — *ἔφη.* „Cf. Schol. Aristoph. Equ. v. 55.“ WASS.

§. 5. *Κουφολογίᾳ.* „Plutarchus in libello de Herodoti malignitate [pag. 395. R.] Thucydidem laudat, quod hoc Cleonis vi-

φολογίᾳ αὐτοῦ, ἀσμένοις δ' ὅμως ἐγίγνετο τοῖς σώφροσι τῶν ἀνθρώπων, λογιζομένοις δυοῖν ἀγαθοῖν τοῦ ἑτέρου τεύξεσθαι, ἢ Κλέωνος ἀπαλλαγήσεσθαι, ὃ μᾶλλον ἤλπιζον, ἢ σφαλεῖσι γνώμης

1 Λακεδαιμονίους σφίσι χειρώσασθαι. 29. καὶ πάντα διαπραξάμενος ἐν τῇ ἐκκλησίᾳ, καὶ ψηφισαμένων Ἀθηναίων αὐτῷ τὸν πλοῦν, τῶν τε ἐν Πύλῳ στρατηγῶν ἕνα προςελόμενος Δημοσθένην, τὴν ἀγωγὴν διὰ τάχους ἐποιεῖτο.

2 τὸν δὲ Δημοσθένην προςέλαβε πυνθανόμενος τὴν ἀπόβασιν αὐτὸν ἐς τὴν νῆσον διανοεῖσθαι. οἱ γὰρ στρατιῶται κακοπαθοῦντες τοῦ χωρίου τῇ ἀπορίᾳ καὶ μᾶλλον πολιορκούμενοι ἢ πολιορκοῦντες ὥρμηντο διακινδυνεῦσαι.

3 καὶ αὐτῷ ἔτι ῥώμην καὶ ἡ νῆσος ἐμπρησθεῖσα παρέσχε. πρότερον μὲν γὰρ οὔσης αὐτῆς ὑλώδους ἐπὶ τὸ πολὺ καὶ ἀτριβοῦς διὰ τὴν ἀεὶ ἐρημίαν ἐφοβεῖτο, καὶ πρὸς τῶν πολεμίων τοῦτο ἐνόμιζε μᾶλλον εἶναι· πολλῷ γὰρ ἂν στρατοπέδῳ ἀποβάντι ἐξ ἀφανοῦς χωρίου προςβάλλοντας αὐτοὺς βλάπτειν· σφίσι μὲν γὰρ τὰς ἐκείνων ἁμαρτίας καὶ παρασκευὴν ὑπὸ τῆς ὕλης οὐκ ἂν ὁμοίως δῆλα εἶναι, τοῦ δὲ αὐτῶν στρατοπέδου καταφανῆ ἂν εἶναι πάντα τὰ ἁμαρτήματα, ὥςτε προςπίπτειν ἂν αὐτοὺς ἀπροςδοκήτως, ᾗ βούλοιντο· ἐπ' ἐκείνοις

4 γὰρ ἂν εἶναι τὴν ἐπιχείρησιν. εἰ δ' αὖ ἐς δασὺ χωρίον βιάζοιτο ὁμόσε ἰέναι, τοὺς ἐλάσσους, ἐμπείρους δὲ τῆς χώρας, κρείσσους ἐνόμιζε τῶν πλεόνων ἀπείρων· λανθάνειν τε ἂν τὸ ἑαυτῶν στρατόπεδον πολὺ ὂν διαφθειρόμενον, οὐκ οὔσης τῆς προόψεως, ᾗ χρῆν ἀλλήλοις ἐπιβοηθεῖν.

1 30. ἀπὸ δὲ τοῦ Αἰτωλικοῦ πάθους, ὃ διὰ τὴν

[Margin, p. 50:] ἔπειτα Δημοσθένην στρατηγὸν προςαιρεῖται. λέγεται ἅμα, διὰ τί οὗτος ἀπόβασιν ἐς τὴν νῆσον διανοούμενος μέχρι τούτου ἀνεβάλετο.

[Margin, p. 51:] ἡ δὲ νῆσος ἐμπρησθεισα

Cap. 29. §. 3. Οὔσης αὐτῆς. It. Vat. II. Bekk. αὐτῆς οὔσης.

Αὐτῶν Bekk. de coniectura, ut videtur, cui propter ἑαυτῶν pronomen §. 4. adversari noluimus. Vulgo αὑτῶν, quod excusari potest. Cf. Buttm. Gr. §. 127. 3. cum adn. 4. et adn. ad Thuc. I, 17. V, 32.

§. 4. Κρείσσους E. Vulgo et Bekk. κρείττους. Sed σσ in vocabulis aut has literas aut ττ habentibus apud Thuc. constanter ponendum; nam ττ non saepius quam ter quaterve (III, 45., ubi Bekk. mutavit, V, 45. 171. VIII, 71.) in omnibus membranis reperitur, decies fere in plurimis et optimis. Excipiuntur tantum vocabula praeter Atticam dialectum non usitata, quale est ἄττα I, 113. II, 100. Suspecta sunt δέῤῥεις II, 75. et Μυῤῥίνη VI, 55.

Προόψεως ex nostra coniectura Vallae interpretatione prospectus nixa recepit Bekk. Vulgo προςόψεως, quod defenderunt Abresch. et Bloomf. Ceterum cf. sd. II, 89, 8.

tium κουφολογίαν maluit appellare quam θρασύτητα aut μανίαν." ACAC. apud Huds. Attamen infra c. 39. μανιώδη ὑπόσχεσιν de eadem re legimus. — ἀσμένοις δ' ἐγίγνετο. Cf. Matth. Gr. §.388. e. Rost. §. 105. 2. 2). — ἀπαλλαγήσεσθαι. Hoc futurum, quod Moeris Hellenicum vocat, et simile ἀπαλλαχθήσεσθαι interdum apud optimos scriptores inveniri docuimus in ed. mai. — σφίσι χειρώσασθαι, eum Lacedaemonios sibi (Atheniensibus) subiecturum. Sic iterum V, 63. Ἆγιν χειρωσάμενον σφίσιν Ἄργος. Utroquo igitur loco σφίσιν ad medium necessario additum, nec pro ἑαυτοῖς positum est. De aoristi autem infinitivo ex optimis libris a Bekk. pro futuro recepto cf. adn. I, 81, 6. et III, 46, 2. Tempora ideo mutata esse, quod in ἀπαλλαγ. ad diuturnum statum futuri temporis, in χειρώσ. ad unum facinus respiciatur, adnotat Arn. hic et iterum c. 52.

Cap. 29. §. 1. Διαπραξάμενος ... καὶ ψηφισαμένων Ἀθ. cet. Cf. adn. I, 65, 1. — προςελόμενος, quum sibi collegam adiunxisset. Ipsi igitur potestas collegam deligendi aut fuit lege, aut facta est. Cf. Bloomf. — ἀγωγήν, iter, profectionem. Ὁδόν interpretatur Hesych. Cf. VI, 29. Xen. Cyr. VI, 1, 24. Τὴν ἀγωγὴν ἐποιεῖτο iter parabat ob vim imperfecti vult esse Arn., profectus est lexici Pass. editores rec. Qui hos tueatur, conferat adn. I, 26, 1., et certe 30, 4. de Cleone ut iam profecto Thucydides videtur loqui.

§. 2. Τοῦ χωρίου τῇ ἀπορίᾳ. Cf. 26, 2. sq. — μᾶλλον πολιορκούμενοι ἢ πολιορκοῦντες. Similia Xen. de Vect. 4, 48. et alibi leguntur. Cf. II, 65, 8. et Kiessl. ad Tac. Germ. c. 19.

§. 3. Ῥώμην, animi robur, fiduciam. Cf. VII, 18, 2. et ibi Bloomf. — ἡ νῆσος ἐμπρησθεῖσα, quod insula incendium passa erat. Cf. adn. III, 36, 2. Rem hodie quoque saepe in hac insula evenire docet Leak. It. Pelop. I. p. 411. — ὑλώδους ... ἐρημίαν. Cf. 8, 6. — πρὸς τῶν πολεμίων. Cf. adn. II, 86, 5. — πολλῷ στρατοπέδῳ ἀποβάντι. Dativi cum προςβάλλοντες verbo cohaerent. Cf. adn. I, 1. extr. De πολλῷ cf. adn. I, 105, 4. — δῆλα. De neutro vid. Matth. Gr. §. 441. 1. Ita pacem et concordiam victis utilia, victoribus tantum pulchra esse, Tac. Hist. III, 70. Cf. adn. III, 97, 3. — ἐπ' ἐκείνοις ... ἐπιχείρησιν. Similiter II, 84, 2.

§. 4. Εἰ δ' αὖ ... ἰέναι, quod si in loca densa obviam ire (progredi ad manus conserendas cum hoste) cogeretur. — τοὺς ἐλάσσους. De μέν non addito cf. sd. I, 12. — χρῆν. Fortasse χρή legendum. Cf. ed. mai. et adn. III, 11, 3.

Cap. 30. §. 1. Τοῦ Αἰτω-

Δημοσθένει σπουδὴν παρέχει ἀποβάσεως, καὶ ἐπειδὴ Κλέωνος ἀφικομένου (§. γ΄) μάτην λόγοι προςηνέχθησαν τοῖς Λακεδαιμονίοις,

ὕλην μέρος τι ἐγένετο, οὐχ ἥκιστα αὐτὸν ταῦτα
ἐςῄει. τῶν δὲ στρατιωτῶν ἀναγκασθέντων διὰ 2
τὴν στενοχωρίαν τῆς νήσου τοῖς ἐσχάτοις προς-
ίσχοντας ἀριστοποιεῖσθαι διὰ προφυλακῆς, καὶ
ἐμπρήσαντός τινος κατὰ μικρὸν τῆς ὕλης ἄκον-
τος, καὶ ἀπὸ τούτου πνεύματος ἐπιγενομένου,
τὸ πολὺ αὐτῆς ἔλαθε κατακαυθέν. οὕτω δὴ τούς 3
τε Λακεδαιμονίους μᾶλλον κατιδὼν πλείους ὄν-
τας, ὑπονοῶν πρότερον ἐλάσσοσι τὸν σῖτον αὐ-
τοῦ ἐςπέμπειν, τότε [δὲ] ὡς ἐπ' ἀξιόχρεων
τοὺς Ἀθηναίους μᾶλλον σπουδὴν ποιεῖσθαι, τήν

Cap. 30. §. 2. *Τότε δέ. Δέ* interposuimus, ne membrum *τότε ... ποιεῖσθαι* omni nexu careret. Reiskius et Arnoldus e Cl. *τό τε* scribi voluerunt, quod hic simplicius remedium iudicat. Sed e *κατιδών* verbo primum participium *ὄντας*, deinde infinitivum substantive positum *τὸ ποιεῖσθαι*, tum iterum participium *οὖσαν* pendere non est verisimile. Krueger *τότε ὡς ... ποιεῖσθαι* post *οὖσαν* collocanda coniicit.

λικοῦ πάθους. Vid. III, 97. 98., ubi de *τῇ ὕλῃ* §. 3. — *μέρος τι*, ut I, 23. et VII, 30., non tam ex parte, quam magna ex parte, valere suspicatur Arn. — *αὐτόν.* Potuisse etiam *αὐτῷ* scribi docet Bloomf. Cf. Matth. Gr. §. 402. c.

§. 2. *Τῶν δὲ στρατιωτῶν.* Atheniensium. Cf. Bloomf. — *διὰ τὴν στενοχωρίαν.* Etiam haec verba portui amplissimo sinus Avarini atque adeo lacui Osmini Agae parum convenire Goell. dicit. At non agitur hic de angustiis portus, sed de exiguo spatio continentis ab Atheniensibus occupato, ubi cibum capere solebant. Vid. 26, 3. et ibi adn. — *τῆς νήσου* iunge cum *τοῖς ἐσχάτοις.* — *προςίσχοντας.* De accusativo vid. adn. II, 11, 7. — *διὰ προφυλακῆς*, dispositis sive adhibitis excubiis. Cf. Arn. — *κατὰ μικρὸν τῆς ὕλης.* Orationis conformationem similem esse verbis II, 76. *τοῦ μεγάλου οἰκοδομήματος ἐπὶ μέγα κατέσεισε* adnotat Arn. Cf. ibi et de verbis *ἐπὶ πολύ* ad I, 1, 2. adn. Add. adn. V, 116, 2. — *καὶ ἀπὸ τούτου* cet. *Καί* offensioni est; facit enim, ut *ἀπὸ τούτου* cum *πνεύμ. ἐπιγεν.* cohaereant, quum tamen ineptum sit dicere *ἀπὸ τοῦ ἐμπρῆσαί τινα τὴν ὕλην πνεῦμα γενέσθαι.* Quod si aut *καί* abesset, aut pro eo *ὡς* vel *ἐπεί* commate post *κατακαυθέν* collocato legeretur, ut *ἀπὸ τούτου* cum *ἔλαθε κατακαυθέν* necti possent, *ἀπό* praepositio aptior esset. Alteri rationi etiam usus particularum *οὕτω δή* favet. Vid. adn. I, 131, 1. Nunc *ἀπὸ τούτου* interpretantur postea aut ab illa parte. *Ἔλαθε* male hostibus insciis verti pro vv. omnibus nescientibus quomodo adnotat Dobr.

§. 3. *Αὐτοῦ.* Aut *αὐτούς* aut *αὐτόσε* videtur legendum, nisi cum vulgata contendere vis verba *ἡ κομιδὴ ἐν χωρίῳ ἐρήμῳ* c. 27., ubi vid. adn. — *τότε δέ* cet. Cf. sd. *Ποιεῖσθαι*, ut *ἐςπέμπειν*, ex *ὑπονοῶν* verbo sive, quod in eo inest, *νομίζων* pendere existimandum est. Ad *ἀξιόχρεων* cogita *τί*, de quo apud adiectiva omisso cf. adn. IV, 50, 2. — *μεταπέμπων.* Cf. adn. I, 112, 3.

§. 4. *Κλέων δέ.* Hinc novum caput incipere debebat. — *ὡς ἥξων*, i. e. *ὅτι ἥξει.* Cf. Matth. Gr. §. 569. 7. b. et infra 68, 6. — *ἅμα γενόμενοι*] *ἤγουν συνελθόντες ὁ Κλέων καὶ ὁ Δημοσθένης.* Schol. Cf. Rost. Gr. §. 100. 2. adn. et Taciti verba si una forent Hist. II, 28. — *ἐφ' ᾧ.* Cf. adn. I, 103, 1. Tum *τηρήσονται* = *τηρηθήσονται.* — *περὶ τοῦ πλέονος ξυμβαθῇ*] — *ὡς ἂν εἰ ἔλεγε, καὶ περὶ τῶν ἄλλων πραγμάτων· ἕως τέλειαι σπονδαὶ γένωνται καὶ παντὸς τοῦ πολέμου ἀπαλλαγή.* Schol. „Cf. c. 117. *ξυμβῆναι τὰ πλείω.*“ ARN.

Cap. 31. §. 1. *Ἐπ' ὀλίγας ναῦς.* „*Ἐπὶ γὰρ τὰς πολλὰς ἐπεβίβασαν τὸν ψιλὸν ἄλλον ὅμιλον.*“ ΔΟΥΚΑΣ. Vid. 32, 2. De *κακοφωνίᾳ*, quae in hoc enunciato videtur inesse, cf. Lob. Paral. Gr. I. pag. 16. — *πρὸς τοῦ λιμένος.* „Cf. III, 21. *πρὸς Πλαταιῶν.* IV, 130. *περιπλεύσαντες ἐς τὸ πρὸς Σκιώνης.*“ DUK. Add. sd. I, 62, 1.

§. 2. *Διετετάχατο. Οἱ ἐν τῇ νήσῳ* supplet Schol. De flexione cf. adn. III, 13, 2. — *μέσον δέ* cet. „Sphagiae insulae contemplatione descriptio Thucydidis egregie illustratur; planities et fons in media insula, ubi Lacedaemonii consederant, vertex seu iugum in parte septentrionali, quo se receperunt, optime recognoscuntur. Munitionis rudis parum stabiliter factae in hoc iugo reliquias nunc superesse nemo sperabit; sed rui-

τε νῆσον εὐαποβατωτέραν οὖσαν, τὴν ἐπιχείρη-
σιν παρεσκευάζετο, στρατιάν τε μεταπέμπων ἐκ
τῶν ἐγγὺς ξυμμάχων καὶ τὰ ἄλλα ἑτοιμάζων.
4 Κλέων δὲ ἐκείνῳ τε προπέμψας ἄγγελον ὡς
ἥξων, καὶ ἔχων στρατιὰν ἣν ᾐτήσατο ἀφικνεῖται
ἐς Πύλον. καὶ ἅμα γενόμενοι πέμπουσι πρῶτον
ἐς τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον κήρυκα προκα-
λούμενοι, εἰ βούλοιντο ἄνευ κινδύνου τοὺς ἐν τῇ
νήσῳ ἄνδρας σφίσι τά τε ὅπλα καὶ σφᾶς αὐτοὺς
κελεύειν παραδοῦναι, ἐφ' ᾧ φυλακῇ τῇ μετρίᾳ
τηρήσονται, ἕως ἄν τι περὶ τοῦ πλέονος ξυμβαθῇ.

πρῶτον μὲν οἱ ὁπλῖται τῶν Ἀθηναίων ἀποβαίνουσι. τάξις τῶν Λακεδαιμονίων.

1 31. οὐ προςδεξαμένων δὲ αὐτῶν, μίαν μὲν ἡμέ-
ραν ἐπέσχον, τῇ δ' ὑστεραίᾳ ἀνηγάγοντο μὲν νυ-
κτὸς ἐπ' ὀλίγας ναῦς τοὺς ὁπλίτας πάντας ἐπι-
βιβάσαντες, πρὸ δὲ τῆς ἕω ὀλίγον ἀπέβαινον τῆς
νήσου ἑκατέρωθεν, ἔκ τε τοῦ πελάγους καὶ πρὸ
τοῦ λιμένος, ὀκτακόσιοι μάλιστα ὄντες ὁπλῖται,
καὶ ἐχώρουν δρόμῳ ἐπὶ τὸ πρῶτον φυλακτήριον
2 τῆς νήσου. ὧδε γὰρ διετετάχατο. ἐν ταύτῃ μὲν
τῇ πρώτῃ φυλακῇ ὡς τριάκοντα ἦσαν ὁπλῖ-
ται· μέσον δὲ καὶ ὁμαλώτατόν τε καὶ περὶ τὸ

ὕδωρ οἱ πλεῖστοι αὐτῶν καὶ Ἐπιτάδας ὁ ἄρχων εἶχε· μέρος δέ τι οὐ πολὺ αὐτοῦ τὸ ἔσχατον ἐφύλασσε τῆς νήσου τὸ πρὸς τὴν Πύλον, ὃ ἦν ἔκ τε θαλάσσης ἀπόκρημνον καὶ ἐκ τῆς γῆς ἥκιστα ἐπίμαχον· καὶ γάρ τι καὶ ἔρυμα αὐτόθι ἦν παλαιόν, λίθων λογάδην πεποιημένον, ὃ ἐνόμιζον σφίσιν ὠφέλιμον ἂν εἶναι, εἰ καταλαμβάνοι ἀναχώρησις βιαιοτέρα. οὕτω μὲν τεταγμένοι ἦσαν. 32. οἱ δὲ 1

οἱ πρῶτοι φύλακες τῆς νήσου διαφθείρονται. ἔπειτα οἱ ἄλλοι Ἀθηναῖοι ἀποβαίνουσι.

Ἀθηναῖοι τοὺς μὲν πρώτους φύλακας, οἷς ἐπέδραμον, εὐθὺς διαφθείρουσιν ἔν τε ταῖς εὐναῖς ἔτι ἀναλαμβάνοντας τὰ ὅπλα, καὶ λαθόντες τὴν ἀπόβασιν, οἰομένων αὐτῶν τὰς ναῦς κατὰ τὸ

Cap. **31.** §. 2. *Αὐτοῦ.* „Benedictus accipit pro *αὐτόθι*, quod otiosum sane hoc loco puto. Melius igitur cum plerisque interpretibus ad Epitadam retuleris.“ HAACK. F. *αὐτω*, unde *αὐτό* ex Baueri coniectura scripsit Bekk.

Τὸ ἔσχατον. Bekker de coniectura *τοὔσχατον* propter III, 46. At *τὸ ἔσχατον* IV, 35. 92.

nae quaedam speculae recentioris eodem loco reperiuntur.“ LEAK., apud quem vide plura in It. Pelop. I. p. 408. sqq. sive apud nos in ed. mai. *Μέσον* substantive sine articulo legimus iam II, 81, 3. Cf. ibi adn. et hic Arn. — *τὸ ὕδωρ.* Illud *ἁλμυρὸν ὕδωρ* c. 26. intelligit Haack., et Bloomf. in ed. non fontem, quem insula non videatur continuisse, sed puteum esse in Leakii tabula circa mediam insulam collocatum adnotat. Leakius tamen fontem vel locum, unde praecipue petatur aqua, qui sit media fere in insula in rupe ad viginti pedes excavata, a puteo sito prope australem extremitatem insulae partis ad orientem vergentis videtur distinguere. Superius *τέ* Krueg. abesse mavult. — *ἔκ τε θαλάσσης ... καὶ ἐκ τῆς γῆς.* In usu articuli eadem inaequalitas Xen. Hell. V, 3, 26. *μήτε ἐκ τῆς γῆς μήτε κατὰ θάλατταν.* Cf. ibid. VI, 2, 8. — *λίθων λογάδην πεποιημένον*, propr. factum e lapidibus ita, ut legerentur, i. e. e lapidibus non caesis, non ascia fictis. Cf. adn. 4, 2. — *καταλαμβάνοι.* Cf. adn. II, 18, 1.

Cap. **32.** §. 1. *Ἔν τε ταῖς εὐναῖς ἔτι.* Haec iungenda sunt cum *διαφθείρουσιν* verbo. Cf. Bloomf. et ed. mai. atque de omisso *ὄντας* adn. III, 112, 3. Haasio in Lucubr. Thuc. p. 113. aut *καί* vel etiam *ἤ* post *ἔτι*, aut *τέ* ante *τὰ ὅπλα*, qualem particulam excidisse neminem adhuc vidisse asseverat, etsi *καί* post *ἔτι* iam Abreschius, Reiskius, Bauer interisse suspicati sunt, addendum, aut denique *καί*, quod est ante *λαθόντες*, transponendum ante *ἀναλαμβάνοντας* videtur. Vulgatam sic interpretare: statim et in cubilibus etiamtum (stratos) interficiunt, dum arma capiunt, quod illi semisomni fecisse, sed non statim clipeis, loricis similibusque armis armari potuisse existimandi sunt. Exciditne igitur *ἅμα* ante *ἀναλαμβ.*? — *καὶ λαθόντες τὴν ἀπόβασιν.* „*Ἐλλείπει τὸ ... αὐτούς· ὁ δὲ καί ἀναφέρεται ... πρὸς τὸ ἔν τε ταῖς εὐναῖς.*“ *ΔΟΥΚΑΣ.* Id ideo recte fieri, quia *λαθόντες τὴν ἀπόβα-*

2 ἔθος ἐς ἔφορμον τῆς νυκτὸς πλεῖν. ἅμα δὲ ἕῳ γιγνομένῃ καὶ ὁ ἄλλος στρατὸς ἀπέβαινον, ἐκ μὲν νεῶν ἑβδομήκοντα καὶ ὀλίγῳ πλειόνων πάντες πλὴν θαλαμίων, ὡς ἕκαστοι ἐσκευασμένοι, τοξόται τε ὀκτακόσιοι καὶ πελτασταὶ οὐκ ἐλάσσους τούτων, Μεσσηνίων τε οἱ βεβοηθηκότες καὶ ἄλλοι, ὅσοι περὶ Πύλον κατεῖχον, πάντες πλὴν τῶν ἐπὶ τοῦ

καλὴ ἐπίνοια Δημοσθένους.

3 τείχους φυλάκων. Δημοσθένους δὲ τάξαντος διέστησαν κατὰ διακοσίους τε καὶ πλείους, ἔστι δ' ἢ ἐλάσσους, τῶν χωρίων τὰ μετεωρότατα λαβόντες, ὅπως ὅ τι πλείστη ἀπορία ᾖ τοῖς πολεμίοις πανταχόθεν κεκυκλωμένοις καὶ μὴ ἔχωσι πρὸς ὅ τι

Cap. **32.** §. 1. *Ἐς ἔφορμον.* Omnes libri mss., ut videtur, *εἰς ἔφορμον.* *Εἰς* tamen pro usitato *ἐς*, si a verbis ab *ἐπεις* et vocali (cf. sd. II, 38, 2.) incipientibus discesseris, tam raro legitur apud Thucydidem, ut ab eo abiudicandum videatur. A Bekkero in ceteris libris nusquam servatum est, in quarto quater, hic et c. 70. 92. 113., ubi *εἰςελθών*, *εἰςελθόντες*, *εἰςελθόντων*, sed c. 70. certe F. E. *ἐςελθών.*

§. 2. *Ἀπέβαινον.* In plerisque libris *ἐπέβαινον.* At vid. 31, 1. et hoc cap. extr.

§. 3. *Κεκυκλωμένοις.* Cass. Aug. Cl. Pal. C. Reg. Gr. Laur. B. *κεκωλυμένοις.* In It. et Vat. *κεκωλυμένοις* (*κυκλ* supra scr.). Ven. Chr. Dan. et marg. Cl. *κυκλουμένοις.* *Κεκωλυμένοις* etsi defendi potest (cf. *σιν*, si sententiam spectemus, idem atque *τὴν ἀπόβασιν οὐ προϊδόντας* valeant, adnotat Arn. Cf. verba III, 112. — *ἔφορμον τῆς νυκτός.* Cf. 23, 2.

§. 2. *Καὶ ὁ ἄλλος στρατός.* Praeter octingentos illos gravis armaturae milites 31, 1. — *ἑβδομήκοντα.* Cf. 23, 2. — *πάντες.* „Plus quam decem millia quingenti.“ VISCHER. Mus. Helvet. I. p. 393. — *θαλαμίων.* *Θαλαμιῶν* secundum Arcad. p. 40, 13. scribi vult Dind. in Steph. Thes. „Thalamii infimus remigum ordo, medius Zugitae [sive Zygitae], superior vero Thranitae.“ HUDS. Plura vide in ed. mai. Add. Boeckh. Tab. publ. rei nav. p. 114. sqq. Thalamios armis prorsus caruisse et ad proeliandum non idoneos fuisse videri adnotat Arn. Omnino tamen alii remiges in navibus relinquendi erant. — *ὡς ἕκαστοι ἐσκευασμένοι*, suo quisque modo armati. *Ἐσκευασμένοι* similiter 33, 2. legitur; de formula *ὡς ἕκαστοι* cf. adn. I, 3, 4. — *τοξόται τε.* *Τοξόται δέ* coniicit Krueg. Cf. tamen sd. I, 144, 2. De re cf. 28, 4., ubi tamen pauciores sagittarii commemorantur. — *οἱ βεβοηθηκότες.* Vid. 9, 1. — *ὅσοι περὶ Πύλον κατεῖχον.* De intransitivo *κατέχειν* verbi usu cf. adn. I, 10, 1. III, 89, 2. Valent haec, ut cum Tacito (Ann. II, 17. et al.) loquamur, quotquot circum Pylum agebant, alle, die um Pylos standen. „Cf. VIII, 28. *ἐπὶ Ἴασον, ἐν ᾗ Ἀμόργης κατεῖχε.*“ ARN.

§. 3. *Διέστησαν*] *ἐτάχθησαν μεμερισμένως.* Schol. —

ἀντιτάξωνται, ἀλλ' ἀμφίβολοι γίγνωνται τῷ πλη-
θει, εἰ μὲν τοῖς πρόσθεν ἐπίοιεν, ὑπὸ τῶν κα-
τόπιν βαλλόμενοι, εἰ δὲ τοῖς πλαγίοις, ὑπὸ τῶν
ἑκατέρωθεν παρατεταγμένων. κατὰ νώτου τε ἀεὶ 4
ἔμελλον αὐτοῖς, ᾗ χωρήσειαν, οἱ πολέμιοι ἔσε-
σθαι ψιλοὶ καὶ οἱ ἀπορώτατοι, τοξεύμασι καὶ
ἀκοντίοις καὶ λίθοις καὶ σφενδόναις ἐκ πολλοῦ
ἔχοντες ἀλκήν· οἷς μηδὲ ἐπελθεῖν οἷόν τε ἦν·
φεύγοντές τε γὰρ ἐκράτουν, καὶ ἀναχωροῦσιν
ἐπέκειντο. τοιαύτῃ μὲν γνώμῃ ὁ Δημοσθένης τό 5
τε πρῶτον τὴν ἀπόβασιν ἐπενόει, καὶ ἐν τῷ ἔργῳ
ἔταξεν. **33.** *οἱ δὲ περὶ τὸν Ἐπιτάδαν καὶ ὅπερ* 1
ἦν πλεῖστον τῶν ἐν τῇ νήσῳ, ὡς εἶδον τό τε πρῶ-
τον φυλακτήριον διεφθαρμένον καὶ στρατὸν σφί-
σιν ἐπιόντα, ξυνετάξαντο καὶ τοῖς ὁπλίταις τῶν
Ἀθηναίων ἐπῄεσαν βουλόμενοι ἐς χεῖρας ἐλθεῖν·
ἐξ ἐναντίας γὰρ οὗτοι καθεστήκεσαν, ἐκ πλαγίου

τοῖς μὲν ὁπλίταις οἱ Λακεδαιμόνιοι οὐ δύνανται προσμῖξαι, οἱ δὲ ψιλοὶ καλῶς ἀμύνονται,

Bened.), vulgata tamen a Bekk. et plerisque editorum recentiorum servata aptior visa est.

ἀμφίβολοι, i. e. *ἀμφοτέρωθεν* vel *πανταχόθεν βαλλόμενοι*. Cf. Duk. et Bloomf., adn. II, 76, 3. infra 36, 3. — *ἑκατέρωθεν*, ab alterutro latere.

§. 4. *Οἱ ἀπορώτατοι.* Suidas: *ἀπορώτατος, ἀντὶ τοῦ πρὸς ὃν οὐδένα πόρον ἔστιν εὑρεῖν· οὕτως Ἰσαῖος.* Cf. Dio Cass. XLIX, 6. Reisk. ibid. ad XXXVIII, 35. Engelh. ad Plat. Apol. Socr. c. 2. Stallb. ad Plat. Lys. p. 223. B. et hic Dobr., qui comparat exempla Herodotea, velut VI, 44., ubi vid. interpr. — *τοξεύμασι ... καὶ σφενδόναις.* Hi dativi utrum cum iis verbis, quae sequuntur, an cum superioribus *κατὰ νώτου ... ἔσεσθαι* cohaereant, dubitari potest. Ceterum attende haec tela, quum supra §. 2. non alii levis armaturae milites quam *τοξόται* et *πελτασταί* commemorati sint, sed praeter hos sane etiam socii navales. — *ἐκ πολλοῦ ... ἀλκήν*, eminus valentes, eminus fortes. Cf. adn. II, 87, 4. 89, 8. — *οἷς μηδὲ ... οἷόν τε ἦν.* Negatio quum sit *μηδέ*, ad infinitivum relata est, etsi magis ad *οἷόν τε* pertinere videatur; sed quoniam ea vis, quae in altera parte vocis *μηδέ* inest, cum *ἐπελθεῖν* cohaeret, negatio ad idem accommodata est. — *φεύγοντες ... ἐπέκειντο.* Cf. similes locos II, 79, 6. III, 97, 3.

Cap. **33.** §. 1. *Καὶ ὅπερ ... νήσῳ.* His explicari superiora ex 31, 2. liquet. De neutro vid. Matth. Gr. §. 442. 3. et adnot. Saepe neutro relativi ita utitur Tacitus. Velut perfringit quod obvium et validum erat Ann. XIV, 37. Add. adn. infra c. 133. — *ἐξ ἐναντίας*, adversa fronte, a fronte, leguntur etiam c. 35. Xen. Cyr. Disc. VII, 1, 20., ubi iis similiter *ἐκ πλαγίου* opponi docet Bloomf.,

2 *δὲ οἱ ψιλοὶ καὶ κατὰ νώτου. τοῖς μὲν οὖν ὁπλί-*
ταις οὐκ ἠδυνήθησαν προσμῖξαι, οὐδὲ τῇ σφετέρᾳ
ἐμπειρίᾳ χρήσασθαι· οἱ γὰρ ψιλοὶ ἑκατέρωθεν
βάλλοντες εἶργον, καὶ ἅμα ἐκεῖνοι οὐκ ἀντεπῄε-
σαν, ἀλλ' ἡσύχαζον· τοὺς δὲ ψιλούς, ᾗ μάλιστα
αὐτοῖς προσθέοντες προσκέοιντο, ἔτρεπον, καὶ οἳ
ὑποστρέφοντες ἠμύνοντο, ἄνθρωποι κούφως τε
ἐσκευασμένοι καὶ προλαμβάνοντες ῥᾳδίως τῆς φυ-
γῆς, χωρίων τε χαλεπότητι καὶ ὑπὸ τῆς πρὶν
ἐρημίας τραχέων ὄντων, ἐν οἷς οἱ Λακεδαιμόνιοι
1 *οὐκ ἠδύναντο διώκειν ὅπλα ἔχοντες.* **34.** *χρόνον*
μὲν οὖν τινα ὀλίγον οὕτω πρὸς ἀλλήλους ἠκρο-
βολίσαντο· τῶν δὲ Λακεδαιμονίων οὐκέτι ὀξέως
ἐπεκθεῖν, ᾗ προσπίπτοιεν, δυναμένων, γνόντες αὐ-
τοὺς οἱ ψιλοὶ βραδυτέρους ἤδη ὄντας τῷ ἀμύ-
νασθαι καὶ αὐτοὶ τῇ τε ὄψει τοῦ θαρσεῖν τὸ

καὶ μετὰ χρόνον τινὰ ὁρμῶσιν ἐπὶ τοὺς πολεμίους. μεγίστη ἀπορία τούτων.

Cap. **33.** §. 2. *Καὶ οἳ* Aug. Cl. T. It. Pal. Cf. Buttm. Gr. med. §. 126. 5. Matth. §. 286. Vulgo et Bekk. *καὶ οἱ.*

Cap. **34.** §. 1. *Ἀμύνασθαι.* Cl. Ven. Lugd. *ἀμύνεσθαι*, quod placet, quum 33, 2. imperfecta legantur, et de assidua pugna agatur. Cf. adn.

alibi. Cf. Schweb. ad Onos. p. 82. et Lob. Paral. Gr. II. p. 363.

§. 2. *Τῇ ἐμπειρίᾳ.* Cf. II, 89, 2. — *ὑποστρέφοντες*, revertentes, vel conversi. Cf. III, 24. — *ἄνθρωποι κούφως τε ἐσκευασμένοι.* Quaeritur, quae verba his respondeant, utrum *καὶ προλαμβάνοντες ... τῆς φυγῆς*, an *χωρίων τε ... τραχέων ὄντων*, an *χωρίων τε χαλεπότητι*. Cf. ed. mai. — *προλαμβάνοντες ... τῆς φυγῆς.* „Plut. Alex. 20, 6: *Δαρεῖον μὲν οὐχ εἷλε, τέτταρας σταδίους ἢ πέντε προλαβόντα τῇ φυγῇ* ... Cic. 47, 2: *ἄμεινον εἶναι τὸν μὲν Κικέρωνα προλαμβάνειν τῇ φυγῇ, αὐτὸν δὲ μεταθεῖν* ... Quae exempla faciunt, ut apud Thuc. scribendum putem *τῇ φυγῇ*." HELD. Addend. ad Plut. Vit. Aem. Paul. et Timol. pag. postrem., ubi vide plura. Verba vulgata partitiva genitivi notione valeant quidem aliquantum fugae occupantes, antequam hostes insequerentur. Cf. Arn. et genitivorum *τῆς ὁδοῦ* et *τῆς διώξεως* cum *προλαμβάνειν* coniunctorum exempla apud Bloomf. Favet tamen coniecturae haec Procopii horum imitatio, *κούφως ἐσκευασμένοι καὶ τῇ φυγῇ προλαμβάνοντες* p. 204. (CCCLXXIV.), et *ὁδοῦ προλαμβάνειν*, aliquantum itineris festinando praecipere (Curt. IX, 10, 14.), sane aptius dicatur quam *φυγῆς*. *Προλαβεῖν* similiter etiam VII, 80. legitur.

Cap. **34.** §. 1. *Βραδυτέρους ... τῷ ἀμύνασθαι*, defensione (i. e. assiduo hostis propulsandi labore) iam tardiores (quam antea et magis defatigatos) esse. Cf. sd. — *τῇ ὄψει ... φαινόμενοι*, adspectu

πλεῖστον εἰληφότες πολλαπλάσιοι φαινόμενοι, καὶ
ξυνειθισμένοι μᾶλλον μηκέτι δεινοὺς αὐτοὺς
ὁμοίως σφίσι φαίνεσθαι, ὅτι οὐκ εὐθὺς ἄξια τῆς
προςδοκίας ἐπεπόνθεσαν, ὥςπερ ὅτε πρῶτον ἀπέ-
βαινον τῇ γνώμῃ δεδουλωμένοι ὡς ἐπὶ Λακεδαι-
μονίους, καταφρονήσαντες καὶ ἐμβοήσαντες ἀθρόοι
ὥρμησαν ἐπ' αὐτοὺς καὶ ἔβαλλον λίθοις τε καὶ
τοξεύμασι καὶ ἀκοντίοις, ὡς ἕκαστός τι πρόχειρον
εἶχε. γενομένης δὲ τῆς βοῆς ἅμα τῇ ἐπιδρομῇ, ἔκ- 2
πληξίς τε ἐνέπεσεν ἀνθρώποις ἀήθεσι τοιαύτης
μάχης, καὶ ὁ κονιορτὸς τῆς ὕλης νεωστὶ κεκαυ-
μένης ἐχώρει πολὺς ἄνω, ἄπορόν τε ἦν ἰδεῖν τὸ
πρὸ αὑτοῦ ὑπὸ τῶν τοξευμάτων καὶ λίθων ἀπὸ
πολλῶν ἀνθρώπων μετὰ τοῦ κονιορτοῦ ἅμα φε-
ρομένων. τό τε ἔργον ἐνταῦθα χαλεπὸν τοῖς Λα- 3
κεδαιμονίοις καθίστατο. οὔτε γὰρ οἱ πῖλοι ἔστε-
γον τὰ τοξεύματα, δοράτιά τε ἐναποκέκλαστο

§. 2. *Αὑτοῦ* Cass. Cl. Ven. T. Pal. Reg. Gr. al. Vulgo et Bekk. *αὐτοῦ*. Cf. adn. I, 17.

plurimum animi cepere (animos maxime confirmarunt), quum viderent se esse multo plures. „Ut VI, 31. *τῇ ὄψει ἀνεθάρσουν*. Cf. VI, 49, 2.“ KRUEG. — *ὥςπερ* refer ad superius *ὁμοίως* (cf. adnot. II, 55, 2.), et suppl. *ἐφαίνοντο δεινοί*. — *τῇ γνώμῃ δεδουλωμένοι*, animis servilem in morem deiecti, Port. Cf. adn. II, 61, 3. et VII, 71, 3. Alia exempla huius formulae vid. apud Krueg. ad Dion. p. 136. et in Ellendt. Quaest. Arri. p. 10. — *ὡς ἐπὶ Λακεδαιμονίους*, i. e. *ἄνδρας* „*σφόδρα πεζομάχους καὶ πολεμικούς*“ (Schol.). — *καταφρονήσαντες*. Hinc incipit apodosis. „Dicit Dionysius Hal. [p. 872. sq.] collocationem membrorum huius periodi contortam facere orationem, et ostendit, quo ordine ex sententia sua collocari debuissent, ut clarior et suavior fieret oratio.“ DUK. Sed temere Thucydidea reprehendit. Cf. ed. mai.

§. 2. *Τῆς ὕλης ... κεκαυμένης*. Cf. 30, 2.

§. 3. *Οἱ πῖλοι*. Hic non esse pileos, galeas, sed quum propria et prima vis huius vocis sit lanae coactae, hic loricas ex coactis factas ea significari demonstrat Levesqu. Atque Arn. *πῖλον Λακωνικόν* a Poll. I, 149. non addita explicatione nominari, et apud Xenoph. Cyr. Disc. V, 5, 7. *πῖλον* de stragula e lana coacta facta legi adnotat. De universa armatura Spartiatarum vid. Muell. Dor. II. p. 244. et Herm. Antiqu. Gr. §. 30., quanquam neuter *πίλους* memorat, sed aeneas loricas. — *ἔστεγον*, perferebant. Cf. adn. II, 94, 3. — *δοράτια ... βαλλομένων*, et hastae, quibus petebantur, fractae inhaerebant, i. e.

βαλλομένων, εἶχόν τε οὐδὲν σφίσιν αὐτοῖς χρή-
σασθαι ἀποκεκλῃμένοι μὲν τῇ ὄψει τοῦ προορᾶν,
ὑπὸ δὲ τῆς μείζονος βοῆς τῶν πολεμίων τὰ ἐν
αὐτοῖς παραγγελλόμενα οὐκ ἐςακούοντες, κινδύνου
τε πανταχόθεν περιεστῶτος, καὶ οὐκ ἔχοντες ἐλ-
1 πίδα, καθ' ὅ τι χρὴ ἀμυνομένους σωθῆναι. 35. τέ-
λος δὲ τραυματιζομένων ἤδη πολλῶν διὰ τὸ αἰεὶ
ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι, ξυγκλῄσαντες ἐχώ-
ρησαν ἐς τὸ ἔσχατον ἔρυμα τῆς νήσου, ὃ οὐ
2 πολὺ ἀπεῖχε, καὶ τοὺς ἑαυτῶν φύλακας. ὡς δὲ
ἐνέδοσαν, ἐνταῦθα ἤδη πολλῷ ἔτι πλέονι βοῇ
τεθαρσηκότες οἱ ψιλοὶ ἐπέκειντο· καὶ τῶν Λακε-
δαιμονίων ὅσοι μὲν ὑποχωροῦντες ἐγκατελαμβά-
νοντο ἀπέθνησκον, οἱ δὲ πολλοὶ διαφυγόντες ἐς
τὸ ἔρυμα μετὰ τῶν ταύτῃ φυλάκων ἐτάξαντο
παρὰ πᾶν, ὡς ἀμυνούμενοι, ᾗπερ ἦν ἐπίμαχον.
3 καὶ οἱ Ἀθηναῖοι ἐπισπόμενοι περίοδον μὲν αὐτῶν

οἱ Λακεδαιμόνιοι ἀναχωροῦσιν ἐς τὸ ἔσχατον ἔρυμα, ὅπου τὸ πλεῖστον τῆς ἡμέρας ἀντέχουσι.

§. 3. *Ἐν αὑτοῖς*. Bekk. *ἐν αὐτοῖς*, invitis membranis. Cf. §. 2.

et iacula (hostium) in loricis coactilibus Lacedaemoniorum, quum ferirentur (Lacedaemonii), fracta inhaerebant (ita ut membris uti non possent). „Hanc interpretationem haud dubiam relinquunt hi duo loci, quorum auctores ad hunc respexisse probabile est, Paus. I, 21, 8: *ἐναποκλῶνται γὰρ σφίσι* [*τοῖς θώραξι τοῖς λινοῖς*] *καὶ λεόντων ὀδόντες*, et Plut. Crass. 25: — *ἐναποθραύειν τοῖς τραύμασι* (scil. *τοὺς ὀϊστούς*).“ BLOOMF. — *εἶχόν τε ... χρήσασθαι*, neque, quid (de) se ipsis facerent, habebant, i. e. incerti erant, quid agerent. — *ἀποκεκλῃμένοι ... τοῦ προορᾶν*, quod eorum oculis erepta esset omnis facultas prospiciendi, Port. „*Τῇ ὄψει* oppositionis causa additum, quia sequitur *ἐςακούοντες*.“ HAACK. Cf. adn. III, 112, 4. — *περιεστῶτος*. Cf. adn. III, 54, 5. — *χρή*. Cf. adn. I, 91, 1. Neque vero ideo, quod plerumque sola *οὐκ ἔχειν*, *οὐκ ἐπίστασθαι*, *ἀπορεῖν* antecedunt, *ἐλπίδα* recte a Krueg. sollicitatum esse existimamus.

Cap. 35. §. 1. *Ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι*. Erant igitur coarctati et quasi loco affixi. *Ἐν τῷ αὐτῷ* similiter V, 7. VIII, 78. et al. Cf. adn. III, 91, 4. atque in uno haberi Tac. Ann. XV, 10. — *ξυγκλῄσαντες*] *συνασπίσαντες, πυκνωθέντες*. Schol. *Ξυστραφῆναι* II, 4. et al. *Ξυγκλῇσαι* intransitive etiam V, 72. legi videtur. — *τὸ ἔσχατον ἔρυμα τῆς νήσου*. Quod erat in extrema parte insulae. Cf. 31, 2. — *καὶ τούς*. Ex superiore *ἐς* repete *πρός* vel *ὡς*.

§. 2. *Πολλῷ ἔτι πλέονι βοῇ*. Quam ante. Vid. 34, 1. De collocatione verborum cf. ad. I, 80, 4. — *Ἧιπερ ... ἐπίμαχον*. Cf. 31, 2.

§. 3. *Περίοδον ... κύ-*

καὶ κύκλωσιν χωρίου ἰσχύϊ οὐκ εἶχον, προςιόντες
δὲ ἐξ ἐναντίας ὤσασθαι ἐπειρῶντο. καὶ χρόνον 4
μὲν πολὺν καὶ τῆς ἡμέρας τὸ πλεῖστον ταλαιπω-
ρούμενοι ἀμφότεροι ὑπό τε τῆς μάχης καὶ δίψους
καὶ ἡλίου ἀντεῖχον, πειρώμενοι οἱ μὲν ἐξελάσα-
σθαι ἐκ τοῦ μετεώρου, οἱ δὲ μὴ ἐνδοῦναι· ῥᾷον
δ' οἱ Λακεδαιμόνιοι ἠμύναντο ἢ ἐν τῷ πρίν,
οὐκ οὔσης σφῶν τῆς κυκλώσεως ἐς τὰ πλάγια.

τοῦ δὲ τῶν Μεσσηνίων στρατηγοῦ κατὰ νώτου αὐτῶν φανέντος οἱ Ἀθηναῖοι κρατοῦσι τῶν ἐφόδων.

36. ἐπειδὴ δὲ ἀπέραντον ἦν, προςελθὼν ὁ τῶν 1
Μεσσηνίων στρατηγὸς Κλέωνι καὶ Δημοσθένει
ἄλλως ἔφη πονεῖν σφᾶς· εἰ δὲ βούλονται ἑαυτῷ
δοῦναι τῶν τοξοτῶν μέρος τι καὶ τῶν ψιλῶν
περιιέναι κατὰ νώτου αὐτοῖς ὁδῷ, ᾗ ἂν αὐτὸς
εὕρῃ, δοκεῖν βιάσασθαι τὴν ἔφοδον. λαβὼν δὲ 2
ἃ ᾐτήσατο, ἐκ τοῦ ἀφανοῦς ὁρμήσας, ὥςτε μὴ
ἰδεῖν ἐκείνους, κατὰ τὸ ἀεὶ παρεῖκον τοῦ κρη-

κλωσιν, i. e. facultatem τοῦ περιιέναι καὶ κυκλοῦσθαι. Cf. adn. I, 52, 2. II, 44, 3. — ἐξ ἐναντίας. Cf. adn. 33, 1. — ὤσασθαι. Suppl. αὐτούς.

§. 4. Ἐξελάσασθαι. Similiter in medio ἐξελάσασθαι ἐκ τῆς χώρας VII, 5. extr. Cf. Sturz. Lex. Xenoph. — ἐν τῷ πρίν. Cf. adnot. I, 32, 4. — ἐς τὰ πλάγια] ἀντὶ τοῦ ἐκ τῶν πλαγίων. Schol. Proprie in latera versus, ita ut in latera impetus fieret.

Cap. 36. §. 1. Ἐπειδὴ δὲ ἀπέραντον ἦν, quum autem nihil efficeretur, res nullum exitum haberet. Impersonalis est formula dicendi. Cf. adn. I, 7, 1. II, 3, 4. — ὁ ... στρατηγός. De eius nomine cf. adn. 9, 1. — ἄλλως. Cf. adn. I, 109, 3. — σφᾶς, „se, i. e. exercitum totum.“ DOBR. — τῶν τοξοτῶν ... καὶ τῶν ψιλῶν. Mirum est sagittarios a levis armaturae militibus distingui. Et forsitan haec pro plenioribus τῶν τοξοτῶν καὶ τῶν ἄλλων ψιλῶν videantur dicta esse. Ita velites et levis armatura Liv. XXVIII, 15. Cf. Xen. Anab. V, 2, 12. et de hoc dicendi genere adn. I, 116, 3. Sed non eandem explicationem concedunt verba VIII, 71: μέρος τι τῶν ὁπλιτῶν καὶ ψιλῶν καὶ τοξοτῶν. Ubi pars levis armaturae militum eximio quodam modo videtur ψιλοί appellata esse. Quod confirmabunt etiam ψιλοί c. 93. commemorati, si c. 100. comparaveris. Add. adnot. c. 94. et V, 47. VII, 78. Hic πελταστάς potissimum significari ex c. 32. apparet. — περιιέναι. De infinitivo cf. Matth. Gr. §. 532. a.

§. 2. Ἐκ τοῦ ἀφανοῦς. Cf. adn. I, 51, 2. — ὥςτε ... ἐκείνους. Est verbositas ex studio explicationis orta. Cf. Ind. gramm. v. Verbosit. — κατὰ τὸ ἀεὶ παρεῖκον (olim invitis libris melioribus παρῆκον) τοῦ κρημνώδους τῆς νήσου. Ob duplicem vim ἀεί adverbii et κατά praepositionis disputatur, utrum haec valeant *ubicunque* praerupta insulae cedebant (i. e. declivia seu

μνώδους τῆς νήσου προςβαίνων, καὶ ᾗ οἱ Λακεδαι-
μόνιοι χωρίου ἰσχύϊ πιστεύσαντες οὐκ ἐφύλασσον,
χαλεπῶς τε καὶ μόλις περιελθὼν ἔλαθε, καὶ ἐπὶ
τοῦ μετεώρου ἐξαπίνης ἀναφανεὶς κατὰ νώτου
αὐτῶν τοὺς μὲν τῷ ἀδοκήτῳ ἐξέπληξε, τοὺς δὲ
ἃ προςεδέχοντο ἰδόντας πολλῷ μᾶλλον ἐπέῤῥωσε.
3 καὶ οἱ Λακεδαιμόνιοι βαλλόμενοί τε ἀμφοτέρω-
θεν ἤδη καὶ γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι,
ὡς μικρὸν μεγάλῳ εἰκάσαι, τῷ ἐν Θερμοπύλαις,
(ἐκεῖνοί τε γὰρ τῇ ἀτραπῷ περιελθόντων τῶν

Cap. 36. §. 2. Προςβαίνων. Vat. Reg. D. Bekk. προβαίνων. Προςβαίνειν nunquam quidem procedere sonat, sed et hic et alibi parum refert, utrum accedere an procedere dicas. Etenim „προςβαίνων est accedens ad id, quod petas, i. e. hic ascendens. Προβαίνων igitur mutatio est inutilis. Cf. III, 22, 4. IV, 129. (κατὰ ἀτραπόν τινα τοῦ λόφου πειρώμενος προςβῆναι,) VII, 43.“ ARN. Προβαίνων tamen propter περιελθών, quod sequitur, verum videtur Hofmano.

fastigata erant, et aditum dabant), an iuxta *continuum* recessum praeruptarum rupium (seu continentem tractum rupium cedentium et introrsus inclinatarum), an denique *prout* singulis in locis praeruptae rupes aditum dabant, seu prout singulis in locis praeruptarum rupium fieri poterat (i. e. enitendo, rependo aliisque similibus modis). Cf. ed. mai. Illud παρεῖκον τοῦ κρημνώδους autem ad mare cogitandum esse et inde, quod locum insulae tunc a Lacedaemoniis occupatum ἐκ θαλάσσης ἀπόκρημνον fuisse c. 31. legimus, et quod Messenius per illud a tergo circumvenit eos, qui Athenienses e media insula accedentes arcebant, cognoscitur. Et Leakius in l. ad c. 31. d. prope portum Sphagiae descripsit rupium lacunam seu hiatum et fauces sive angustam viam transitum viris per saxa et loca difficilia strenue enitentibus concedentem, quo trames per rupes e media insula ferret.

§. 3. Ξυμπτώματι. Hoc vocabulum displicuit Phrynicho, qui tamen semel a Demosth. positum esse non negat. Vid. Lob. ad Phryn. p. 248. — ὡς ... εἰκάσαι. Cf. Matth. Gr. §. 545. 1. Rost. §. 129. 9. adn. p. 646. 3). — ἐκεῖνοί τε ... οὗτοί τε. Hanc esse interpositionem demonstravit Krueg. ad Dion. p. 269. et adversus nostras et Goelleri dubitationes in Comment. antiquit. stud. 1842. p. 99., ubi verbi inter duo membra interpositi hoc simillimum exemplum protulit, Eur. Iph. T. 1333: κεῖνοί τε γὰρ σίδηρον οὐκ εἶχον χεροῖν, ἡμεῖς τε. Cf. ed. mai. I. p. 290. — τῇ ἀτραπῷ περιελθόντων ... διεφθάρησαν. Cf. Herod. VII, 213. sqq. „Ἀτραπός ea est, quam per montes ferentem Herodotus Persis a Graeco proditore indicatam esse narrans accuratissime depingit c. 216.“ BLOOMF. Cf. de ea Leak. Graec. sept. II. p. 53. Hoc autem nomen de appellativo factum proprium isti semitae angustae videri adnotat Casaub. ad Strab. I. pag. 10. Cf. Leak. l. d. pag. 59., secundum quem hodie μονοπάτι. —

Περσῶν διεφθάρησαν οὗτοί τε,) ἀμφίβολοι ἤδη
ὄντες οὐκέτι ἀντεῖχον, ἀλλὰ πολλοῖς τε ὀλίγοι
μαχόμενοι καὶ ἀσθενείᾳ σωμάτων διὰ τὴν σιτο-
δείαν ὑπεχώρουν· καὶ οἱ Ἀθηναῖοι ἐκράτουν ἤδη
τῶν ἐφόδων. 37. γνοὺς δὲ ὁ Κλέων καὶ ὁ Δη- 1
μοσθένης, ὅτι, εἰ καὶ ὁποσονοῦν μᾶλλον ἐνδώ-
σουσι, διαφθαρησομένους αὐτοὺς ὑπὸ τῆς σφε-
τέρας στρατιᾶς, ἔπαυσαν τὴν μάχην καὶ τοὺς
ἑαυτῶν ἀπεῖρξαν βουλόμενοι ἀγαγεῖν αὐτοὺς Ἀθη-
ναίοις ζῶντας, εἴ πως τοῦ κηρύγματος ἀκούσαν-
τες ἐπικλασθεῖεν τῇ γνώμῃ τὰ ὅπλα παραδοῦναι,
καὶ ἡσσηθεῖεν τοῦ παρόντος δεινοῦ. ἐκήρυξάν τε,
εἰ βούλοιντο τὰ ὅπλα παραδοῦναι καὶ σφᾶς αὐ-
τοὺς Ἀθηναίοις, ὥστε βουλεῦσαι ὅ τι ἂν ἐκείνοις
δοκῇ. 38. οἱ δὲ ἀκούσαντες παρῆκαν τὰς ἀσπί- 1
δας οἱ πλεῖστοι καὶ τὰς χεῖρας ἀνέσεισαν, δη-
λοῦντες προσίεσθαι τὰ κεκηρυγμένα. μετὰ δὲ ταῦτα
γενομένης τῆς ἀνακωχῆς ξυνῆλθον ἐς λόγους ὅ τε
Κλέων καὶ ὁ Δημοσθένης καὶ ἐκείνων Στύφων
ὁ Φάρακος, τῶν πρότερον ἀρχόντων τοῦ μὲν

ἔπειτα κήρυγμα ποιοῦνται πρὸς τοὺς Λακεδαιμονίους.

γενομένων δὲ ἐπερωτήσεων τῶν ἐν τῇ ἠπείρῳ Λακεδαιμονίων οἱ ἐν τῇ νήσῳ παραδιδόασι

οὗτοί τε. Suppl. περιελθόντων τῶν πολεμίων διεφθάρησαν. Διαφθαρῆναι autem possunt dici, quia paulo post capti sunt. Quare προςαπόλλυσθαι de iisdem legi VII, 71. adnotat Krueg. — ἀμφίβολοι ἤδη ὄντες. Sententia superiorum post interpositionem iteratur, qualis epanalepsis exempla reperiuntur etiam I, 18, 1. VII, 42. De ipso ἀμφίβολοι cf. adn. 32, 3. — ἀσθενείᾳ ... διὰ ... σιτοδείαν. Cf. Matth. Gr. §. 397. adn. 1.

Cap. 37. §. 1. Γνούς. Singularis ad propius nomen accommodatus est; sed usitatius esset γνόντες. — ὅτι ... διαφθαρησομένους αὐτούς. Cf. Matth. Gr. §. 549. adn. 1. Rost. §. 122. adn. 3. Similia exempla reperiuntur Dion. Hal. Ant. p. 869. Ios. B. I. IV, 2, 2. Καὶ ὁποσονοῦν valent quantulumcunque, vel tantillum.

§. 2. Εἰ βούλοιντο. Cf. adn. III, 52, 2. — ἐκείνοις. Cf. adn. I, 132, 5. II, 11, 6.

Cap. 38. §. 1. Παρῆκαν τὰς ἀσπίδας. Signum obedientiae, ut apud Herodot. III, 128: μεθῆκαν τὰς ἀσπίδας. Romanos ἐπιθεῖναι ταῖς κεφαλαῖς τὰς ἀσπίδας testatur Appi. Civ. II, 42., a Macedonibus hastas erectas esse Liv. XXXIII, 10. — τὰς χεῖρας ἀνέσεισαν. Hoc quoque deditionis signum. „Vid. interpr. Tac. Hist. I, 54.“ GOELL. — δηλοῦντες προςίεσθαι. Attende infinitivum superioris participii causa pro usitatiore participio collocatum, ut infra c. 47. similiter apud κατάδηλος adiectivum. Ad verbum δηλοῦν infinitivum addiderunt etiam Paus. III, 25, 12. VI, 16, 3. Iuli. Ep. 38. Proc. p. 254. Cf. praeterea Steph. Thes. — ἐκείνων, ex illis.

πρώτου τεθνηκότος Ἐπιτάδου, τοῦ δὲ μετ' αὐ-
τὸν Ἱππαγρέτου ἐφῃρημένου ἐν τοῖς νεκροῖς ἔτι
ζῶντος κειμένου ὡς τεθνεῶτος, αὐτὸς τρίτος
ἐφῃρημένος ἄρχειν κατὰ νόμον, εἴ τι ἐκεῖνοι πά-
2 σχοιεν. ἔλεγε δὲ ὁ Στύφων καὶ οἱ μετ' αὐτοῦ, ὅτι
βούλονται διακηρυκεύσασθαι πρὸς τοὺς ἐν τῇ
ἠπείρῳ Λακεδαιμονίους, ὅ τι χρὴ σφᾶς ποιεῖν.
3 καὶ ἐκείνων μὲν οὐδένα ἀφέντων, αὐτῶν δὲ τῶν
Ἀθηναίων καλούντων ἐκ τῆς ἠπείρου κήρυκας,
καὶ γενομένων ἐπερωτήσεων δὶς ἢ τρίς, ὁ τελευ-
ταῖος διαπλεύσας αὐτοῖς ἀπὸ τῶν ἐκ τῆς ἠπεί-
ρου Λακεδαιμονίων ἀνὴρ ἀπήγγειλεν, ὅτι οἱ Λα-
κεδαιμόνιοι κελεύουσιν ὑμᾶς αὐτοὺς περὶ ὑμῶν
αὐτῶν βουλεύεσθαι, μηδὲν αἰσχρὸν ποιοῦντας.
οἱ δὲ καθ' ἑαυτοὺς βουλευσάμενοι τὰ ὅπλα πα-
4 ρέδοσαν καὶ σφᾶς αὐτούς. καὶ ταύτην μὲν τὴν
ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα ἐν φυλακῇ εἶ-
χον αὐτοὺς οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ οἱ μὲν
Ἀθηναῖοι τροπαῖον στήσαντες ἐν τῇ νήσῳ τὰ ἄλλα

σφᾶς αὐτούς. ἀριθμὸς τῶν τε ἀποθανόντων καὶ τῶν ληφθέντων.

Cap. 38. §. 4. Τὰ ἄλλα. Gr. τἄλλα, Bekk. τἆλλα. Cf. sd. III, 90, 4.

— τοῦ δὲ μετ' ... ἐφῃρημένου. Ἱππαγρέτας hic non muneris nomen, de quo cf. Herm. Antiqu. Gr. §. 29, 15. et Haas. ad Xen. de Rep. Laced. p. 105., sed proprium videtur esse. Cf. Arn. De collocatione verborum cf. adn. I, 90, 1. „Vel vacat μετ' αὐτόν, vel praepositio in ἐφῃρημένον.“ STEPH. in Thes. v. ἐφαιρεῖν. Similia redundantiae exempla quaere in adn. I, 23, 3. 122, 4. 133. al. — ἐφῃρημένος ... νόμον. „Coniungo ἐφῃρημένος κατὰ νόμον. Nam indicat Thuc., quod etiam illa εἴ τι ἐκεῖνοι πάσχοιεν ostendunt, horum ducum alios aliis non suffragiis militum, qui in praesidio erant, sed antequam hi in insulam traiicerentur, publice ex lege surrogatos fuisse, ut in locum priorum, si quid his accidisset [εἴ τι ... πάσχοιεν], succederent.“ DUK. Cf. de hac re et de ternario ducum numero adn. III, 100, 2., de formula εἴ τι ... πάσχοιεν interpr. ad Plat. Menex. c. 18.

§. 2. Ἔλεγε. Cf. Matth. Gr. §. 304. et supra adn. 37, 1. — διακηρυκεύσασθαι] ἐν ἴσῳ μέν πώς ἐστι τῷ ἐπικηρυκεύσασθαι· εἰ μή τις εἴποι τὸ μὲν διακηρυκεύεσθαι πρὸς φίλους, τὸ δ' ἐπικηρυκεύεσθαι πρὸς πολεμίους. Schol. Dukas proprie διὰ τῶν πολεμίων πρὸς φίλους μετὰ κηρυκείου διέρχεσθαι suspicatur valere.

§. 3. Ἐκείνων significans ex illis (inclusis) pendere videtur ex οὐδένα voce. Cf. ed. mai. — ὅτι. Cf. adn. I, 137, 4. — ὑμᾶς αὐτοὺς περὶ ὑμῶν αὐτῶν. In hac pronominum collocatione propter ea, quae leguntur in Buttm. Gr. §. 127, 3. et Kuehn. Gr. §. 337, 3., noli of-

διεσκευάζοντο ὡς ἐς πλοῦν, καὶ τοὺς ἄνδρας τοῖς
τριηράρχοις διεδίδοσαν ἐς φυλακήν, οἱ δὲ Λακε-
δαιμόνιοι κήρυκα πέμψαντες τοὺς νεκροὺς διε-
κομίσαντο. ἀπέθανον δ' ἐν τῇ νήσῳ καὶ ζῶντες
ἐλήφθησαν τοσοίδε· εἴκοσι μὲν ὁπλῖται διέβησαν
καὶ τετρακόσιοι οἱ πάντες· τούτων ζῶντες ἐκομί-
σθησαν ὀκτὼ ἀποδέοντες τριακόσιοι, οἱ δὲ ἄλ-
λοι ἀπέθανον· καὶ Σπαρτιᾶται τούτων ἦσαν τῶν
ζώντων περὶ εἴκοσι καὶ ἑκατόν. Ἀθηναίων δὲ οὐ
πολλοὶ διεφθάρησαν· ἡ γὰρ μάχη οὐ σταδία ἦν.

χρόνος τῆς πολιορκίας καὶ θρέψις τῶν πολιορκουμένων. ἑκάτεροι ἀναχωροῦσιν ἐπ' οἶκον.

39. χρόνος δὲ ὁ ξύμπας ἐγένετο, ὅσον οἱ ἄνδρες 1
οἱ ἐν τῇ νήσῳ ἐπολιορκήθησαν, ἀπὸ τῆς ναυμα-
χίας μέχρι τῆς ἐν τῇ νήσῳ μάχης ἑβδομήκοντα
ἡμέραι καὶ δύο. τούτων περὶ εἴκοσιν ἡμέρας, ἐν 2
αἷς οἱ πρέσβεις περὶ τῶν σπονδῶν ἀπῄεσαν, ἐσι-
τοδοτοῦντο, τὰς δὲ ἄλλας τοῖς ἐςπλέουσι λάθρα
διετρέφοντο. καὶ ἦν σῖτος ἐν τῇ νήσῳ, καὶ ἄλλα
βρώματα ἐγκατελήφθη· ὁ γὰρ ἄρχων Ἐπιτάδας

Cap. **39**. §. 2. *Λάθρα*. Pal. et Bekk. *λάθρᾳ*. Cf. sd. 16, 1.

fendere. Cf. Schaef. ad Dem. I. p. 347. Arndt. de Pronom. reflex. usu p. 5. infra VI, 77, 1.

§. 3. *Διεσκευάζοντο*. Hoc uno loco Thucydides hoc verbo usus alibi *παρασκευάζεσθαι τὸν πλοῦν* dicit. Cf. I, 54. VIII, 91. — *διεκομίσαντο*. Non simpliciter receperunt (*ἐκομίσαντο*, cf. II, 79. 82. al.), sed (receptos) ad se (in continentem) transportarunt. Cf. I, 89.

§. 4. *Εἴκοσι ... καὶ τετρακόσιοι*. Cf. 8, 9. — *οἱ πάντες*. Cf. Matth. Gr. §. 266. — *ὀκτὼ ἀποδέοντες τριακόσιοι*. Similiter *τριακοσίων ἀποδέοντα μύρια* II, 13.; multo usitatius hac vi est simplex *δέοντα*. Ceterum quadringentos captivos commemorat Plut. de Glor. Athen. p. 360. confundens numerum militum in insula relictorum. Cum Thuc. consentit Diod. XII, 63., praeterquam quod verba *ὀκτὼ ἀποδέοντες* neglexit. Cf. ed. mai. — *Σπαρτιᾶται*. Cf. V, 15, 1. — *μάχη ... σταδία*. *Ξυσταδὸν μάχη* appellatur VII, 81, 5., pugna stataria Latinis. Cf. hic Bloomf. et Reim. ad Dion. Cass. p. 33.

Cap. **39**. §. 1. *Τῆς ναυμαχίας*. Cf. c. 14.

§. 2. *Οἱ πρέσβεις*. Cf. c. 16. sqq. — *τοῖς ἐςπλέουσι*, iis, quae importabantur. Cf. adn. II, 93, 4. Alii quidem *ὑπὸ τῶν ἐςπλεόντων* interpretantur cl. c. 26., sed et *καταπλέουσι* potius dicendum erat (vid. 26, 6.), nec negligendi *οἱ ἐςνέοντες κατὰ τὸν λιμένα* (ibid. §. 8.). — *ἦν σῖτος*. Falsa igitur narrat Diod. XII, 63. „*Ἦν*, i. e. *περιῆν*, *ὑπῆρχεν ἔτι*." GOTTL. Aut hoc *ἦν* deleri aut paulo post *βρώματα ἃ* legi cupit Krueg. At quoniam *ἦν* fere idem est atque reperiebatur, in altero membro non male ei respondeat *ἐγκατελήφθη*. — *ἢ πρός*. *Ἢ* audacter damnat Bernh. Synt. pag. 438. Tu vid. Matth. Gr. §. 449. extr. et Klotz. ad Devar. p. 582.

§. 3. *Τοῦ Κλέωνος*. Is Atheniensibus rem bene gestam nuncians primus in epistolae principio *χαίρειν* fertur scripsisse. Vid. Thom. Mag. in v. *χαίρειν* et ibi interpr. — *ἤγαγε τοὺς ἄνδρας*. *Δεθέντας* addit Diod. l. d. — *ὥςπερ ὑπέστη*, quemadmodum promiserat, de qua vi verbi *ὑφίστασθαι* cf. Duk. et Goell. Add. VIII, 29. Similiter *ἀναδέχεσθαι* dicitur. De re vid. 28, 4.

Cap. **40**. §. 1. *Ἠξίουν ... παραδοῦναι*, existimabant ... traditūros, vel potius tradere solere. Ita haec intelligenda, quia *οὔτε* sequitur, non *μήτε*. — *ὡς ἐδύναντο*, ut possent, pro viribus.

§. 2. *Ἀπιστοῦντες*. Nominativus absolutus ad ea, quae sequuntur, spectans per *ἀνακολουθίαν* pro genitivo positus est (cf. Rost. Gr. §. 131. 6.), quum scriptor proprie dicturus esset: et dissidentes illos, qui arma tradidissent, caesis similes esse ... hoc tulerunt (acceperunt) responsum; pro quibus postremis propter interposita *καί τινος ἐρομένου ... ἕνα ...* scriptum est *ἀπεκρίνατο*. De *μή* cf. adnot. I, 10, 1. — *δι' ἀχθηδόνα*. „Valla verba Graeca verterat per contumeliam, quod Steph. emendandum putavit prae tristitia. Sed Valla mentem Thucydidis recte assecutus est, et post eum Ae. Portus, cuius hoc Scholion Graecum est: *διὰ λύπην, ἵνα τὸν αἰχμάλωτον τοιούτῳ σαρκασμῷ καὶ ἐπηρεασμῷ μᾶλλον λυπήσῃ*." DUK. *Διά* etsi plerumque de causa rei gestae dicitur, interdum etiam de consilio legi exemplis IV, 102. et V, 53. docet Arn., et vidimus iam II, 89, 4. De *ἀχθηδόνος* vocabulo cf. adnot. II, 37, 2. — *ἄτρακτον*. Proprie, id quod Schol. Theocr. Id. IV, 52. a Gail. excitatus testatur, *εἶδος ἀκάνθης* videtur esse; deinde res ex illo ligno factas designat, plerumque fusum, adhuc *ἀδράκτι*. Per translationem, ut *ἠλακάτη*, sa-

ἐνδεεστέρως ἑκάστῳ παρεῖχεν ἢ πρὸς τὴν ἐξουσίαν.
3 οἱ μὲν δὴ Ἀθηναῖοι καὶ οἱ Πελοποννήσιοι ἀνεχώ-
ρησαν τῷ στρατῷ ἐκ τῆς Πύλου ἑκάτεροι ἐπ' οἴ-
κου, καὶ τοῦ Κλέωνος καίπερ μανιώδης οὖσα ἡ
ὑπόσχεσις ἀπέβη· ἐντὸς γὰρ εἴκοσιν ἡμερῶν ἤγαγε
1 τοὺς ἄνδρας, ὥςπερ ὑπέστη. 40. παρὰ γνώμην τε
δὴ μάλιστα τῶν κατὰ τὸν πόλεμον τοῦτο τοῖς
Ἕλλησιν ἐγένετο· τοὺς γὰρ Λακεδαιμονίους οὔτε
λιμῷ οὔτ' ἀνάγκῃ οὐδεμιᾷ ἠξίουν τὰ ὅπλα πα-
ραδοῦναι, ἀλλὰ ἔχοντας καὶ μαχομένους, ὡς ἐδύ-
2 ναντο, ἀποθνήσκειν. ἀπιστοῦντές τε μὴ εἶναι τοὺς
παραδόντας τοῖς τεθνεῶσιν ὁμοίους, καί τινος ἐρο-
μένου ποτὲ ὕστερον τῶν Ἀθηναίων ξυμμάχων
δι' ἀχθηδόνα ἕνα τῶν ἐκ τῆς νήσου αἰχμαλώτων,
εἰ οἱ τεθνεῶτες αὐτῶν καλοὶ κἀγαθοί, ἀπεκρίνατο
αὐτῷ πολλοῦ ἂν ἄξιον εἶναι τὸν ἄτρακτον, λέγων

γνώμη τῶν Ἑλλήνων περὶ τῶν πεπραγμένων.

βούλευμα Ἀθηναίων περὶ τῶν αἰχμαλώτων. Πύλον αὐτοί τε καὶ οἱ Μεσσήνιοι φυλάσσουσιν. οἱ δὲ Λακεδαιμόνιοι μάτην πρεσβεύονται παρ᾽ αὐτούς.

τὸν οἰστόν, εἰ τοὺς ἀγαθοὺς διεγίγνωσκε, δήλωσιν ποιούμενος, ὅτι ὁ ἐντυγχάνων τοῖς τε λίθοις καὶ τοξεύμασι διεφθείρετο. 41. κομισθέντων δὲ 1 τῶν ἀνδρῶν, οἱ Ἀθηναῖοι ἐβούλευσαν δεσμοῖς μὲν αὐτοὺς φυλάσσειν, μέχρι οὔ τι ξυμβῶσιν· ἢν δ᾽ οἱ Πελοποννήσιοι πρὸ τούτου ἐς τὴν γῆν ἐσβάλλωσιν, ἐξαγαγόντες ἀποκτεῖναι. τῆς δὲ Πύλου φυλακὴν κατεστήσαντο· καὶ οἱ ἐκ τῆς Ναυ- 2 πάκτου Μεσσήνιοι ὡς ἐς πατρίδα ταύτην (ἔστι γὰρ ἡ Πύλος τῆς Μεσσηνίδος ποτὲ οὔσης γῆς) πέμψαντες σφῶν αὐτῶν τοὺς ἐπιτηδειοτάτους ἐλῄζόν τε τὴν Λακωνικὴν καὶ πλεῖστα ἔβλαπτον ὁμόφωνοι ὄντες. οἱ δὲ Λακεδαιμόνιοι ἀμαθεῖς 3 ὄντες ἐν τῷ πρὶν χρόνῳ λῃστείας καὶ τοιούτου πολέμου, τῶν τε Εἱλώτων αὐτομολούντων, καὶ φοβούμενοι, μὴ καὶ ἐπὶ μακρότερον σφίσι τι νεωτερισθῇ τῶν κατὰ τὴν χώραν, οὐ ῥᾳδίως ἔφερον, ἀλλά, καίπερ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς Ἀθηναίοις, ἐπρεσβεύοντο παρ᾽ αὐτούς, καὶ ἐπειρῶντο τήν τε Πύλον καὶ τοὺς ἄνδρας κομίζεσθαι. οἱ δὲ μειζόνων τε ὠρέγοντο, καὶ πολλά- 4

Cap. **40**. §. 2. *Οἰστόν*. Cf. sd. II, 75, 5.

Cap. **41**. §. 2. *Ἐλῄζόν τε*. Cod. Bas. D. Dan. *ἐληΐζοντό τε*. Mosqu. Ar. Chr. *ἐλῄζον τότε*. Aug. quidem *ἐλήιζόν τε*, sed *το* add. man. 2. Cf. sd. III, 85, 2.

gitta est apud poetas. Apud Thuc. autem „contemptim protulit Laco, ut alter eiusdem gentis [apud Plut. in Apophth. Lac., cf. Lob. ad Soph. Ai. v. 1120.], *Οὐ μέλει μοι τούτου, ὅτι ἀποθανοῦμαι, ἀλλ᾽ ὅτι ὑπὸ γύνιδος τοξότου.*“ WASS.

Cap. **41**. §. 1. *Ἐβούλευσαν*, i. e. *ἐβουλεύσαντο, ἐψηφίσαντο*, quo verbo usus est Diod. XII, 63. de re negligentius loquens. De activo *βουλεύειν* cf. V, 63. 111. VI, 18. — *μέχρι ... ξυμβῶσι*. Cf. adn. I, 137, 2.

§. 2. *Καὶ οἱ* cet. Cf. Diod. l. d. et de *ἐκ* praepos. adn. I, 8, 2. — *ἔστι ... γῆς*. Cf. 3, 2. — *τοὺς ἐπιτηδειοτάτους*. Complementum si opus est, est superius *λῃΐζειν*. *τὴν Λακωνικήν*. I. e. Messeniam. Cf. adn. II, 25, 1. — *ὁμόφωνοι ὄντες*. Cf. 3, 3.

§. 3. *Ἀμαθεῖς ... λῃστείας*, nescii, i. e. insueti, latrocinii. — *αὐτομολούντων, καὶ φοβούμενοι*. Cf. adn. I, 65, 1. — *ἐπὶ μακρότερον*, i. e. *πλεῖον*, quo Dio Cass. XLVII, 48. in similibus verbis utitur. De re cf. 55, 1. et ibi adn. — *οὐ βουλόμενοι ἔνδηλοι εἶναι*. Suppl. *φοβούμενοι* ex superioribus. Cf. II, 64, 6. et ed. mai.

κις φοιτώντων αὐτοὺς ἀπράκτους ἀπέπεμπον. ταῦτα μὲν τὰ περὶ Πύλον γενόμενα.

Ἀθηναῖοι Νικίου ἡγουμένου ἐς τὴν Κορινθίαν στρατεύσαντες ἐς τὸν ἐπὶ Σολυγείᾳ αἰγιαλὸν κατίσχουσι. Κορίνθιοι δὲ βοηθοῦσι,

1 42. Τοῦ δ᾽ αὐτοῦ θέρους μετὰ ταῦτα εὐθὺς Ἀθηναῖοι ἐς τὴν Κορινθίαν ἐστράτευσαν ναυσὶν ὀγδοήκοντα καὶ δισχιλίοις ὁπλίταις ἑαυτῶν καὶ ἐν ἱππαγωγοῖς ναυσὶ διακοσίοις ἱππεῦσιν· ἠκολούθουν δὲ καὶ τῶν ξυμμάχων Μιλήσιοι καὶ Ἄνδριοι καὶ Καρύστιοι· ἐστρατήγει δὲ Νικίας ὁ 2 Νικηράτου τρίτος αὐτός. πλέοντες δὲ ἅμα ἕῳ ἔσχον μεταξὺ Χερσονήσου τε καὶ Ῥείτου ἐς τὸν αἰγιαλὸν τοῦ χωρίου, ὑπὲρ οὗ ὁ Σολύγειος λόφος

Cap. **42**. §. 2. *Σολύγειος*. Ob proximum *Σολύγεια* ex Steph. Byz. recepimus. In libris mss. et apud Bekk. *Σολύγιος*.

§. 4. *Φοιτώντων αὐτοὺς ... ἀπέπεμπον*. Cf. Rost. Gr. §. 131. adn. 2. „Huc respicit Aristoph. Pac. v. 636. sq. Add. ibi Schol.“ DUK. — *ταῦτα ... γενόμενα*. Cf. adn. II, 54, 6.

Cap. **42**. §. 1. *Ὀγδοήκοντα*. „Diodori exemplaria *ἑξήκοντα, ὁπλίτας τρισχιλίους*. [XII, 65.]“ WASS. Diodorus varias Niciae expeditiones confudit. Vid. Wass. et Duk. ad V, 116. — *ἱππαγωγοῖς*. Cf. adnot. II, 56, 2.

λέγεται, διά τί οἱ Χαλκιδῆς καὶ Περδίκκας μετεπέμψαντο τὸν στρατὸν τῶν Πελοποννησίων,

Cap. **78.** §. 5. *Περαιβίαν.* Pal. *Πεῤῥαιβίαν.* Cf. Wess. ad Herodot. VII, 128. et Friedem. Comment. ad Strab. I. p. 430.

§. 6. *Τῶν Θεσσαλῶν.* *Τῶν* om. Cl. Ven. T. Laur., Bekkero teste Pal. et m., omnino omnes, ut videtur, libri mss. praeter It. et Vat.

Δῖον. In compluribus libris mss. optimis *Δίον*, sed male.

kii pristina opinione vid. ed. mai., de recentiore Graec. sept. IV. p. 320. sq. — *ἐς Φάκιον.* „Per Apidani [cum Enipeo iuncti] vallem Phacium descendit in inferiore illius extremitate, ubi Penei convalli iungitur, situm.“ ARN. Cf. de eo Liv. XXXII, 13. et XXXVI, 13. et interpr. Steph. Byz. Ad Gyphtó-castron prope Alífacam collocat Leak. Graec. sept. IV. p. 293. — *ἐξ αὐτοῦ ἐς Περαιβίαν.* Peraebia recentior, qualis erat Herodoti et Thucydidis aetate, interiecta erat inter Peneum, Cambunios montes, Pindum. Cf. Strab. p. 442: *οἱ Πεῤῥαιβοὶ τινὲς μὲν συσταλέντες περὶ τὰ ἑσπέρια τοῦ Ὀλύμπου μέρη κατέμενον αὐτόθι πρόςχωροι ὄντες Μακεδόσι· τὸ δὲ πολὺ μέρος εἰς τὰ περὶ Ἀθαμανίαν ὄρη καὶ τὴν Πίνδον ἐξέπεσε· νυνὶ δὲ μικρὸν ἢ οὐδὲν αὐτῶν ἴχνος σώζεται.* Herodotus cum Gonno urbe coniungit VII, 128. 137. al. Cf. hic Arn. Muell. Dor. II. p. 65. et ad tab. Graec. septentr. p. 5. sq. Leak. l. d. IV. p. 213. „A Phacio Brasidas quum iuxta Peneum Larissam contendere posset, statim in Peraebiam transisse, et transversis itineribus per mediam hanc terram Dium profectus videtur, ubi usitatam viam ex Macedonia Larissam per Tempe ferentem assecutus est. Tempe igitur vitasse, et Pierios montes traiecisse fere eodem itinere videtur, quod Xerxes, quum in contrariam partem profectus est, . . . iniit. Cf. Herodot. VII, 128. 131.“ ARN. Ergo per Pythii et Petrae fauces. Vid. Leak. III. p. 343.

§. 6. *Κατέστησαν*, deduxerunt. Cf. c. 103. et hic Bloomf. — *Δῖον.* Situm Thuc. iam ipse indicavit, quocum cf. Liv. XLI, 8. Pieriae videatur esse, sed extra eam collocatur a Strab. p. 330. et Liv. XLIV, 9., ubi vid. Duk. Ex recentioribus de situ cf. Boeckh. Inscr. II. pag. 49. et Leak. III. p. 408. sqq. — *πρὸς Θεσσαλούς*, in Thessaliam versus, nisi mavis esse adversus Thessalos (conditum), quod parum placet.

Cap. **79.** §. 1. *Ὡς ... καὶ ἐς.* Ex talibus exemplis discrimen utriusque particulae optime cognoscitur. Cf. II, 67, 1.

κης ἀφεστῶτες Ἀθηναίων καὶ Περδίκκας ἐξήγα-
γον τὸν στρατόν, οἱ μὲν Χαλκιδῆς νομίζοντες ἐπὶ
σφᾶς πρῶτον ὁρμήσειν τοὺς Ἀθηναίους, (καὶ ἅμα
αἱ πλησιόχωροι πόλεις αὐτῶν αἱ οὐκ ἀφεστηκυῖαι
ξυνεπῆγον κρύφα,) Περδίκκας δὲ πολέμιος μὲν
οὐκ ὢν ἐκ τοῦ φανεροῦ, φοβούμενος δὲ καὶ αὐ-
τὸς τὰ παλαιὰ διάφορα τῶν Ἀθηναίων, καὶ μά-
λιστα βουλόμενος Ἀῤῥιβαῖον τὸν Λυγκηστῶν βα-
σιλέα παραστήσασθαι. ξυνέβη δὲ αὐτοῖς, ὥςτε 3
ῥᾷον ἐκ τῆς Πελοποννήσου στρατὸν ἐξαγαγεῖν, ἡ
τῶν Λακεδαιμονίων ἐν τῷ παρόντι κακοπραγία.

καὶ διὰ τί οἱ Λακεδαιμόνιοι πρόθυμοι ἦσαν ἐκπέμψαι αὐτόν. ὑποψία καὶ κακούργημα αὐτῶν ἐς τοὺς Εἵλωτας.

80. τῶν γὰρ Ἀθηναίων ἐγκειμένων τῇ Πελοπον- 1
νήσῳ καὶ οὐχ ἥκιστα τῇ ἐκείνων γῇ, ἤλπιζον ἀπο-
στρέψαι αὐτοὺς μάλιστα, εἰ ἀντιπαραλυποῖεν
πέμψαντες ἐπὶ τοὺς ξυμμάχους αὐτῶν στρατιάν,

Cap. 79. §. 2. Ἀῤῥιβαῖον. Aug. Cl. (sed hic a man. 2.) Ven. It. m. Ar. Chr. Ἀῤῥίβαιον, ut in Gr. c. 83. et in vulgg. edd. c. 124. De similium nominum accentibus vid. Goettl. Doctrin. accent. p. 179.

Λυγκηστῶν. Cass. T. Pal. Mosqu. et olim Cl. Λυγκιστῶν. Cf. sd. II, 99, 2.

Cap. 80. §. 1. Ἀποστρέψαι. Cass. Cl. (hic a pr. man.) T. F. B. D. I. E. Laur. m. ἀποτρέψαι. Ar. Chr. Dan. ἀποτρέψειν. Et τρέπειν interdum a στρέφειν verbo discerni vix posse docet Klotz. ad Eur. Med. v. 1006. Cf. tamen adn. V, 75, 2.

§. 2. Ἐξήγαγον. Dobraeus ἐπηγάγοντο, arcessiverunt, coniecit; sed vulgatam bene defendit Arn. Cf. adn. ad I, 107, 4. et §. 3. Valet effecerunt, ut ex Peloponneso exercitus educeretur. — οἱ ... ἀφεστῶτες Ἀθηναίων. Chalcidenses et Bottiaei. Cf. I, 58. — πλησιόχωροι. Hanc vocem frustra a Thoma Mag. reprehendi docuimus in ed. mai. Ex ea autem pendet genitivus αὐτῶν. — ξυνεπῆγον. Cf. 84, 2. et adn. I, 107, 4. — πολέμιος μὲν οὐκ ὤν. Compositionem enim ab eo cum Atheniensibus factam esse II, 29. legimus. — τὰ παλαιὰ διάφορα. Cf. I, 57. sqq. Ἀῤῥιβαῖον. Strab. p. 326: οἱ Λυγκισταὶ ὑπ' Ἀῤῥαβαίῳ ἐγένοντο τῶν Βακχιαδῶν γένους ὄντι· τούτου δ' ἦν θυγατριδῆ ἡ Φιλίππου μήτηρ ... Ἴῤῥα δὲ θυγάτηρ. Ἀῤῥάβαιος vocatur etiam Aristot. Polit. V, 8. Sed Thuc. sibi constat c. 83. et 124. De accentu cf. sd. — Λυγκηστῶν. Cf. II, 99, 2. infra c. 83. et 124. sqq. — παραστήσασθαι. Infra c. 83. καταστρέψασθαι. Cf. adn. I, 29, 5.

§. 3. Ξυνέβη δὲ αὐτοῖς, opportune autem eis cecidit, Port. Hinc novum caput melius inciperet.

Cap. 80. §. 1. Ἐγκειμένων. Ex Pylo atque Cytheris. Cf. c. 55. sqq. — ἀποστρέψαι. De aoristi infinitivo cf. adnot. I, 81, 6. — ἑτοίμων ὄντων. Suppl. ἐκείνων (τῶν ξυμμάχων). —

ἄλλως τε καὶ ἑτοίμων ὄντων τρέφειν τε καὶ ἐπὶ
2 ἀποστάσει σφᾶς ἐπικαλουμένων. καὶ ἅμα τῶν
Εἱλώτων βουλομένοις ἦν ἐπὶ προφάσει ἐκπέμψαι,
μή τι πρὸς τὰ παρόντα τῆς Πύλου ἐχομένης νεω-
3 τερίσωσιν. ἐπεὶ καὶ τόδε ἔπραξαν φοβούμενοι
αὐτῶν τὴν νεότητα καὶ τὸ πλῆθος· (ἀεὶ γὰρ τὰ
πολλὰ Λακεδαιμονίοις πρὸς τοὺς Εἵλωτας τῆς
φυλακῆς πέρι μάλιστα καθειστήκει·) προεῖπον,
αὐτῶν ὅσοι ἀξιοῦσιν ἐν τοῖς πολεμίοις γεγενῆσθαι

§. 3. Νεότητα. Vat. H. Bekk. σκαιότητα, quod in It. superscr. In Aug. quidem νεότητα, sed post tres quatuorve literas erasas. Σκαιότητος nomen nec ipsum nec primigenium σκαιός alibi apud Thucyd. legitur, et notio rusticitatis seu inconditorum morum, vel etiam stultitiae, parum apta est. Sinistrum animum interpretatus est Haas., quibus verbis si malos et perversos mores voluit exprimere, ne haec quidem vis satis placet, infensus animus autem non videtur sic dici posse. Et tamen aut haec significatio exspectatur, aut seditiosi animi. Multo minus, id quod Hofmanus suspicatur, dolosum animum potest ideo declarare, quia σκαιός ponatur pro πλάγιος. Nam quum sic dicitur, (quod apud unum Nicandrum factum videtur,) est curvus, obliquus, non dolosus, quam notionem ei subiectam esse eo minus credibile est, quo magis sinistrum vafro est contrarium. De vulgata cf. adn.

τρέφειν τε. De traiecto τέ, quod in Pal. T. Lugd. omittitur, cf. adn. I, 16.

§. 2. Τῶν Εἱλώτων. Est genitivus partitivus. — βουλομένοις ἦν. Suppl. αὐτοῖς, et cf. adn. II, 3, 2. — πρὸς τὰ παρόντα, propter praesentem rerum statum. Cf. V, 14.

§. 3. Ἐπεί cet. Plena sententia haec est: hanc causam fuisse manifestum est; nam cet. Ἐπεί, ut ὡς, etiam in pronunciatis per se constantibus plane ut γάρ poni inde constat, quod adeo ante imperativum et ante interrogationes leguntur. Cf. Matth. Gr. §. 618. Rost. Gr. in us. schol. §. 180. adn. 1., item ὥςτε et Lat. quanquam. Quare hic, ubi enunciatum ab hac particula incipiens tanti ponderis est, ut duabus paragraphis illustratur, maiorem interpunctionem praecedere voluimus. Cf. VI, 79. 89. et quodammodo iam supra 78, 3. — τόδε ἔπραξαν. Haec verbis προεῖπον αὐτῶν cet. explicantur, sicut addita φοβούμενοι ... τὸ πλῆθος interpositis ἀεὶ γὰρ ... καθειστήκει. Secundum haec igitur interpunctionem Bekkerianam mutavimus. De γάρ ad προεῖπον non addito cf. Matth. Gr. §. 630. e. — τὴν νεότητα καὶ τὸ πλῆθος. Haec si recte scripta sunt, qua de re cf. sd., νεότης, ut alibi (cf. II, 8. 21. 22.), iuvenes significat, πλῆθος autem aut universorum Helotarum multitudo est (de qua cf. VIII, 40, 2. et hic Huds.), aut per ἓν διὰ δυοῖν ipsorum iuvenum. — ἀεὶ γὰρ ... καθειστήκει. Huc refer κρυπτείαν et similia instituta. Cf. Muell. Dor. II. p. 40. sqq. Herm. Antiqu. Gr. §. 48. Schoem. Antiqu. iur. p. 111. — προεῖπον. De re cf. Diod. XII, 67., de tempore rei Thirw. Hist. Gr. III. p. 266. adn. — αὐτῶν ὅσοι. De collocatione verborum cf. adn. III, 39, 2. et Bernh. Synt. p. 461.

σφίσιν ἄριστοι κρίνεσθαι ὡς ἐλευθερώσοντες, πεῖ-
ραν ποιούμενοι καὶ ἡγούμενοι τούτους σφίσιν ὑπὸ
φρονήματος, οἵπερ καὶ ἠξίωσαν πρῶτος ἕκαστος
ἐλευθεροῦσθαι, μάλιστα ἂν καὶ ἐπιθέσθαι. καὶ 4
προκρίναντες ἐς δισχιλίους, οἱ μὲν ἐστεφανώ-
σαντό τε καὶ τὰ ἱερὰ περιῆλθον ὡς ἠλευθερω-
μένοι, οἱ δὲ οὐ πολλῷ ὕστερον ἠφάνισάν τε αὐ-
τούς, καὶ οὐδεὶς ᾔσθετο, ὅτῳ τρόπῳ ἕκαστος διε-
φθάρη. καὶ τότε προθύμως τῷ Βρασίδᾳ αὐτῶν 5
ξυνέπεμψαν ἑπτακοσίους ὁπλίτας, τοὺς δ᾽ ἄλλους
ἐκ τῆς Πελοποννήσου μισθῷ πείσας ἐξήγαγεν.
αὐτόν τε Βρασίδαν βουλόμενον μάλιστα Λακε- 6
δαιμόνιοι ἀπέστειλαν· 81. προὐθυμήθησαν δὲ καὶ 1
οἱ Χαλκιδῆς ἄνδρα ἔν τε τῇ Σπάρτῃ δοκοῦντα
δραστήριον εἶναι ἐς τὰ πάντα καί, ἐπειδὴ ἐξῆλθε,

ὅτι καὶ αὐτὸς Βρασίδας εἰκότως ἀπεστάλη, καὶ ὠφελιμώτατος τοῖς Λακεδαιμονίοις ἐγένετο.

Cap. 81. §. 1. Προὐθυμήθησαν. In optimis membranis male προὐθύμησαν.

— ἐν τοῖς πολεμίοις, in (bei, an) hostibus, i. e. contra hostes. Cf. de hoc usu ἐν praepositionis Wund. ad Soph. Ai. v. 1092. Bernh. Synt. p. 212. et de Latinis Hand. Turs. III. p. 266.

§. 4. Προκρίναντες. Voluit pergere ἐς δισχιλίους στεφανωθέντας καὶ τὰ ἱερὰ περιελθόντας αὐτοὺς ἠφάνισαν, sed ut animos magis ad Helotas converteret, participia resolvit, ut III, 34, 3., ubi vid. adn. De re cf. Plut. Lyc. c. 28. — οἱ μὲν … ἠλευθερωμένοι. De forma manumittendi apud Lacedaemonios vid. Muell. Dor. II. p. 45. Herm. Antiqu. Gr. §. 25. cum adn. 13. 14. et quos hic citat Duk. — ἠφάνισαν αὐτοὺς … διεφθάρη. „Diodorus Sic. [l. d.] scribit principibus Lacedaemoniorum negotium datum fuisse eos … domi suae interficiendi.“ DUK. Κρυπτείας exemplum hoc non esse recte docet Muell. Dor. II. p. 44.

§. 5. Αὐτῶν (i. e. ex numero universorum Helotarum), … ἑπτακοσίους ὁπλίτας. „De numero a Thuc. dissentit Diodorus; mille enim eos fuisse scribit, et accersitos a Brasida ex Thracia [capta Acantho].“ HUDS. Hos Helotas plena libertate postea demum donatos esse audiemus V, 34. Cf. Muell. l. d. p. 45. — τοὺς δ᾽ ἄλλους, i. e. χιλίους ὁπλίτας. Vid. 78, 1. — μισθῷ πείσας. Cf. Wachsm. Antiqu. Gr. II. 1. p. 396. et adn. I, 60, 1.

§. 6. Haec enunciatio magis ad proximum caput pertinet.

Cap. 81. §. 1. Προὐθυμήθησαν … ἄνδρα. Ἀποσταλῆναι αὐτον ex superiore enunciatione subaudit Arn. comparans VII, 86. Et eodem modo Bekkerum intelligi velle inde apparet, quod comma ante ἄνδρα et post ἀπέστειλαν collocavit. Quod verum videtur; nam iungit quidem προθυμεῖσθαι verbum Thucydides saepe cum accusativo („cf. V, 17. 39. VIII, 1“ DUK. ad VIII, 90.), sed is aliis omnibus locis rei est. — δραστήριον. „A Plutarcho comparatur Achilli p. 221. D. Symposii.“ DORV. ad Char. p. 669.

2 πλείστου ἄξιον Λακεδαιμονίοις γενόμενον. τό τε
γὰρ παραυτίκα ἑαυτὸν παρασχὼν δίκαιον καὶ μέ-
τριον ἐς τὰς πόλεις ἀπέστησε τὰ πολλά, τὰ δὲ
προδοσίᾳ εἷλε τῶν χωρίων, ὥςτε τοῖς Λακεδαιμο-
νίοις γίγνεσθαι ξυμβαίνειν τε βουλομένοις, ὅπερ
ἐποίησαν, ἀνταπόδοσιν καὶ ἀποδοχὴν χωρίων, καὶ
τοῦ πολέμου ἀπὸ τῆς Πελοποννήσου λώφησιν·
ἔς τε τὸν χρόνῳ ὕστερον μετὰ τὰ ἐκ Σικελίας
πόλεμον ἡ τότε Βρασίδου ἀρετὴ καὶ ξύνεσις, τῶν
μὲν πείρᾳ αἰσθομένων, τῶν δὲ ἀκοῇ νομισάντων,
μάλιστα ἐπιθυμίαν ἐνεποίει τοῖς Ἀθηναίων ξυμ-
3 μάχοις ἐς τοὺς Λακεδαιμονίους. πρῶτος γὰρ ἐξ-
ελθὼν καὶ δόξας εἶναι κατὰ πάντα ἀγαθὸς ἐλ-
πίδα ἐγκατέλιπε βέβαιον, ὡς καὶ οἱ ἄλλοι τοιοῦ-
τοί εἰσι. 82. τότε δ᾽ οὖν ἀφικομένου αὐτοῦ ἐς
τὰ ἐπὶ Θρᾴκης οἱ Ἀθηναῖοι πυθόμενοι τόν τε
Περδίκκαν πολέμιον ποιοῦνται, νομίσαντες αἴτιον
εἶναι τῆς παρόδου, καὶ τῶν ταύτῃ ξυμμάχων φυ-
λακὴν πλέονα κατεστήσαντο.

ἀλλὰ καὶ οἱ Ἀθηναῖοι ἀντεμηχανήσαντο.

1 83. Περδίκκας δὲ Βρασίδαν καὶ τὴν στρατιὰν
εὐθὺς λαβὼν μετὰ τῆς ἑαυτοῦ δυνάμεως στρα-
τεύει ἐπὶ Ἀῤῥιβαῖον τὸν Βρομεροῦ, Λυγκηστῶν
Μακεδόνων βασιλέα, ὅμορον ὄντα, διαφορᾶς τε
αὐτῷ οὔσης, καὶ βουλόμενος καταστρέψασθαι.

Βρασίδας ἐπὶ Ἀῤῥιβαῖον στρατεύσας ἄκοντος Περδίκκου σπένδεται.

Cap. 83. §. 1. Λυγκηστῶν. Cf. sd. II, 99, 1.

§. 2. Δίκαιον καὶ μέτριον. Cf. c. 108. — τὰ πολλά. Cf. c. 88. 106. sq. 120. 123. — τὰ δέ. Cf. c. 110. — ξυμβαίνειν τε βουλομένοις. His proprie respondere debebant καὶ πολεμεῖν βουλομένοις, quae latent in verbis καὶ τοῦ πολέμου. — ὅπερ ἐποίησαν. Vid. V, 17. Ἐπόθησαν tamen coniicit Krueg. — μετὰ τὰ ἐκ Σικελίας. Cf. adn. III, 102, 2. — πόλεμον. In Ionia et Hellesponto maxime gestum. — ἀρετὴ καὶ ξύνεσις. Pro his ἐμπειρία καὶ τόλμα V, 7. — τῶν μὲν … αἰσθομένων. Praeter τοὺς ἐπὶ Θρᾴκης ii possunt esse socii, qui in Cleonis exercitu fuerunt. Vid. V, 2. 7.

§. 3. Κατὰ πάντα. Cf. Lob. ad Soph. Ai. v. 1415. et Steph. Thes. in v. πᾶς p. 570. ed. rec. Similis est Velleii formula per omnia. Conf. ibi Kritz. ad II, 31. extr.

Cap. 82. Δ᾽ οὖν. Cf. adn. I, 3, 4. — ποιοῦνται. Dukas ἐκήρυξαν. Cf. Pflugk. ad Eur. Hec. v. 299.

Cap. 83. §. 1. Ἀῤῥιβαῖον. Cf. adnot. 79, 2. — Λυγκηστῶν Μακεδόνων. Cf. II, 99, 2.

ἐπεὶ δὲ ἐγένετο τῷ στρατῷ μετὰ τοῦ Βρασίδου
ἐπὶ τῇ ἐςβολῇ τῆς Λύγκου, Βρασίδας λόγοις ἔφη
βούλεσθαι πρῶτον ἐλθὼν πρὸ πολέμου Ἀῤῥι-
βαῖον ξύμμαχον Λακεδαιμονίων, ἢν δύνηται, ποιῆ-
σαι. καὶ γάρ τι καὶ Ἀῤῥιβαῖος ἐπεκηρυκεύετο ἑτοι- 3
μος ὢν Βρασίδᾳ μέσῳ δικαστῇ ἐπιτρέπειν· καὶ
οἱ Χαλκιδέων πρέσβεις ξυμπαρόντες ἐδίδασκον
αὐτὸν μὴ ὑπεξελεῖν τῷ Περδίκκᾳ τὰ δεινά, ἵνα
προθυμοτέρῳ ἔχοιεν καὶ ἐς τὰ ἑαυτῶν χρῆσθαι.
ἅμα δέ τι καὶ εἰρήκεσαν τοιοῦτον οἱ παρὰ τοῦ 4
Περδίκκου ἐν τῇ Λακεδαίμονι, ὡς πολλὰ αὐτοῖς
τῶν περὶ αὐτὸν χωρίων ξύμμαχα ποιήσοι, ὥςτε
ἐκ τοῦ τοιούτου κοινῇ μᾶλλον ὁ Βρασίδας τὰ

§. 2. Τῆς Λύγκου. Cf. adn.
§. 4. Αὐτόν. Invitis membranis Bekk. αὐτόν, quod non necessarium. Cf. adn. I, 17. Ad asperum tamen spiritum in similibus formulis inclinat Arndt. de Pronom. reflex. p. 22.

§. 2. Ἐπὶ τῇ ἐςβολῇ τῆς Λύγκου. In compluribus mediocris aut exiguae auctoritatis libris τοῦ Λύγκου, sed vid. c. 129. 132. Lynci nomine apud Thuc. Lyncestidem significari recte censere Leakium Graec. sept. III. p. 311. ex feminino genere apparet. De ἐςβολῆς voce cf. adn. III, 112, 2. Μεταξὺ δυοῖν λόφοιν στενή dicitur 127, 2., et diei non integri iter has fauces ab Arnissa Macedoniae inferioris urbe abfuisse ex 128, 3. discimus. Arnoldus, apud quem vide plura, hunc aditum in regionem Lyncestarum ex Macedonia inferiore eundem putat atque eum, quem Livius XXXI, 39. describat tanquam quo ex valle Erigoni Eordaeam intremus. Add. Leak. l. d. p. 314. sq. — λόγοις ... ποιῆσαι. Λόγοις refer ad ξύμμαχον ποιῆσαι, et ad ἐλθών participium ex illo subaudi ἐς λόγους, aut e proximis πρὸς Ἀῤῥιβαῖον.

§. 3. Μέσῳ δικαστῇ] ἀντὶ τοῦ μεσίτῃ καὶ διαιτητῇ. Schol. „Cf. Aristot. Eth. V, 4. [7. p. 1132, 33.] ζητοῦσι δικαστὴν μέσον· καὶ καλοῦσιν ἔνιοι μεσιδίους, ὡς, ἐὰν τοῦ μέσου τύχωσι, τοῦ δικαίου τευξόμενοι ... Sed dubitari potest, utrum in vv. μέσος δικαστής non tam intercessionis quam animi ab omni partium studio alieni vis insit.“ ARN. Cf. adn. III, 82, 8. et Plut. de Solert. animal. t. X. pag. 24. Reisk.: εἰκάζομεν ... κοινόν σε καὶ μέσον ἔσεσθαι τῶν νεανίσκων βραβευτήν. — ἐπιτρέπειν. Cf. adnot. I, 28, 2. — ἐδίδασκον ... τὰ δεινά, monebant eum, ne eximeret Perdiccae ea, quae timeret. Διδάσκειν sequente infinitivo hortandi vim habet etiam VII, 18.; ὑπεξελεῖν verbi valentis eximere, adimere, subtrahere, exempla adscripsit Arn. — προθυμοτέρῳ. Refer ad Perdiccam.

§. 4. Κοινῇ ... πράσσειν. Arnoldus ex iis, quae a legatis Perdiccae Lacedaemone promissa essent, Brasidam aequius esse putavisse existimat, ut ipse una cum Perdicca, quam ut hic solus suo arbitratu res Arrhibaei

5 τοῦ Ἀῤῥιβαίου ἠξίου πράσσειν. Περδίκκας δὲ οὔτε
δικαστὴν ἔφη Βρασίδαν τῶν σφετέρων διαφορῶν
ἀγαγεῖν, μᾶλλον δὲ καθαιρέτην ὧν ἂν αὐτὸς ἀπο-
φαίνῃ πολεμίων, ἀδικήσειν τε, εἰ αὐτοῦ τρέφον-
τος τὸ ἥμισυ τοῦ στρατοῦ ξυνέσται Ἀῤῥιβαίῳ.
6 ὁ δὲ ἄκοντος καὶ ἐκ διαφορᾶς ξυγγίγνεται, καὶ
πεισθεὶς τοῖς λόγοις ἀπήγαγε τὴν στρατιάν, πρὶν
ἐςβαλεῖν ἐς τὴν χώραν. Περδίκκας δὲ μετὰ τοῦτο
τρίτον μέρος ἀνθ᾽ ἡμίσεος τῆς τροφῆς ἐδίδου
νομίζων ἀδικεῖσθαι.

1 84. Ἐν δὲ τῷ αὐτῷ θέρει εὐθὺς ὁ Βρασίδας
ἔχων καὶ Χαλκιδέας ἐπὶ Ἄκανθον τὴν Ἀνδρίων
2 ἀποικίαν ὀλίγον πρὸ τρυγήτου ἐστράτευσεν. οἱ
δὲ περὶ τοῦ δέχεσθαι αὐτὸν κατ᾽ ἀλλήλους ἐστα-

ἔπειτα ἐπὶ Ἀκανθίους στρατεύει, οἳ λόγον αὐτῷ διδόασι.

Cap. 84. §. 1. Τρυγήτου. Pal. τρυγητοῦ. Cf. Spitzn. Exc. XXX. ad Hom. Il.

componeret. Nobis tamen, quo iure Brasidas ex Perdiccae promissione Lacedaemoniis multos socios parandi illud sibi persuadere potuerit, non satis liquet. Nescio igitur, an Bloomf. κοινῇ rectius interpretatus sit sine partium studio, quae notio in adiectivo κοινός certe inest. Cf. adn. III, 53, 2. et paulo ante verba Plutarchi. Alias huius κοινῇ explanationes vid. in ed. mai. Πράσσειν est tractare.

§. 5. Καθαιρέτην. Attende hoc substantivum, quo primus usus videtur Thucydides, a quo recepit Dio Cass. — τρέφοντος τὸ ἥμισυ τ. στρ. Altera pars dimidia videtur a Chalcidensibus sustentata esse. Cf. 80, 1.

§. 6. Ἄκοντος] τοῦ Περδίκκου δηλονότι. Schol. — ἐκ διαφορᾶς, post altercationem vel dissensionem (cum Perdicca). Sic iterum ἐκ τῆς διαφορᾶς c. 125, ubi διαφερομένων αὐτῶν antecedunt. Cf. etiam V, 42. — τρίτον μέρος. De articulo ante numerum ordinalem non addito cf. adn. 90, 3. Hic patrio sermone dixeris ein Drittel. — ἡμίσεος. Cf. sd. 104, 4.

Cap. 84. §. 1. Καὶ Χαλκιδέας. Praeter suum exercitum. — Ἄκανθον. „Urbs ἐν τῷ Σιγγιτικῷ κόλπῳ [ad Strymonium aliis, et rectius, cf. Mannert. Geogr. VII. pag. 451. et Leak. Graec. sept. III. p. 148.] παράλιος, πλησίον τῆς τοῦ Ξέρξου διώρυχος [cf. c. 109.] Epit. Strab.“ WASS. Cf. Cousin. Maced. II. p. 150. sq. et Leak. l. d. p. 147., secundum quos hodie est Erissús sive Hierissús. — τὴν Ἀνδρίων ἀποικίαν. Articulo hanc Acanthum ab aliis urbibus eiusdem nominis distingui docet Arn. Similiter tamen I, 30. Λευκάδα τὴν Κορινθίων ἀποικίαν, ubi ab hac Coelesyriae urbem (de qua cf. Steph. Thes.) discerni nequaquam verisimile est, quum haec non ante Alexandri tempora hoc nomen accepisse videatur. Notam igitur coloniam significari putamus. — τρυγήτου. Vindemia pro diversitate regionum ab exeunte Augusto usque ad d. IV.

σίαζον, οἵ τε μετὰ τῶν Χαλκιδέων ξυνεπάγοντες καὶ ὁ δῆμος. ὅμως δὲ διὰ τοῦ καρποῦ τὸ δέος ἔτι ἔξω ὄντος πεισθὲν τὸ πλῆθος ὑπὸ τοῦ Βρασίδου δέξασθαί τε αὐτὸν μόνον καὶ ἀκούσαντας βουλεύσασθαι δέχεται· καὶ καταστὰς ἐπὶ τὸ πλῆθος (ἦν δὲ οὐδὲ ἀδύνατος, ὡς Λακεδαιμόνιος, εἰπεῖν) ἔλεγε τοιάδε.

δημηγορία Βρασίδου, ὃς πρῶτον μὲν ἀπολογεῖται ὑπὲρ τοῦ χρόνῳ ἐπελθεῖν, καὶ κελεύει σφᾶς δέξασθαι, εἰ μὴ βούλονται ἢ ἀδίκους ἢ ἀσθενεῖς δοκεῖν.

85. *„Ἡ μὲν ἔκπεμψίς μου καὶ τῆς στρατιᾶς* 1
ὑπὸ Λακεδαιμονίων, ὦ Ἀκάνθιοι, γεγένηται τὴν
αἰτίαν ἐπαληθεύουσα, ἣν ἀρχόμενοι τοῦ πολέμου
προείπομεν, Ἀθηναίοις ἐλευθεροῦντες τὴν Ἑλλάδα
πολεμήσειν· εἰ δὲ χρόνῳ ἐπήλθομεν σφαλέντες 2
τῆς ἀπὸ τοῦ ἐκεῖ πολέμου δόξης, ᾗ διὰ τάχους
αὐτοὶ ἄνευ τοῦ ὑμετέρου κινδύνου ἠλπίσαμεν Ἀθη-

§. 2. *Ἀκούσαντας.* E. *ἀκούσαντες*, atque aut hoc aut *ἀκοῦσαν* probandum videtur; nam attractio hic, ubi subiectum infinitivi in nominativo positum est, negligi posse non videtur. Cf. ed. mai.

Kal. Oct. fiebat. Vid. Dodw. Annal. Thuc. in ed. mai.

§. 2. *Ξυνεπάγοντες.* Cf. 79, 2. et ibi adnotat. — *διὰ τοῦ καρποῦ τὸ δέος.* Pro his c. 88. *περὶ τοῦ καρποῦ φόβῳ.* Genitivus obiecti igitur, qui apud metus nomina plerumque eum, quem metuimus (cf. Matth. Gr. §. 367. Rost. §. 108. adn. 1.), hic rariore modo id, cui metuimus, significat. De singulari *καρπός* cf. adn. II, 4, 2. III, 15, 2. — *καταστὰς ἐπὶ τὸ πλῆθος*, quum concionem adisset, ad concionem progressus. Cf. 97, 2. — *οὐδὲ ἀδύνατος.* „Cur *οὐδέ*, non *οὐ*? Nempe quia et alias virtutes ... Brasidae memora[vit] c. 81., ut ne hanc quidem facultatem et commendationem ei defuisse innueret.“ BAU. — *ὡς Λακεδαιμόνιος.* „Haec verba ... ita explicat Aelian. l. XII. c. 50. Var. Hist., quasi dicere voluerit Thucydides dicendi imperitos fuisse Spartanos, ac Brasidam fuisse ut inter Spartanos facundum.“ HUDS. „Ὡς [enim] hic restringit et minuit, ut Lat. ut; disertus, ut Lacedaemonius, scil. esse poterat.“ BAU. „Vid. Liv. XXXII, 33. vir, ut inter Aetolos, facundus, et ad ea verba Gron.“ WASS. Vide plura in ed. mai. et Matth. Gr. §. 628. 1. e. et de exigua Lacedaemoniorum in dicendo exercitatione I, 84, 3.

Cap. 85. sqq. In hac oratione artem sophisticam cerni, ex eaque Brasidam non minus prudentia civili quam militari insignem fuisse apparere docet Bloomf. Quam autem is artem sophisticam, forsitan rectius calliditatem Laconicam dixeris. Ei certe attribuimus mendacia c. 85. extr.

§. 1. *Ἐπαληθεύουσα*] *βεβαιοῦσα, κυροῦσα.* Schol. De praesentis participio cf. adn. III, 18, 1., verbum iterum sic legitur VIII, 52. — *προείπομεν ... πολεμήσειν.* Cf. II, 8, 4., unde comma vulgo et apud Bekk. non recte post *Ἀθηναίοις* poni liquebit.

§. 2. *Τῆς ἀπὸ ... δόξης*, opinione ex bello, quod illic gerebatur (vel geri-

ναίους καθαιρήσειν, μηδεὶς μεμφθῇ· νῦν γάρ,
ὅτε παρέσχεν, ἀφιγμένοι καὶ μετὰ ὑμῶν πειρα-
3 *σόμεθα κατεργάζεσθαι αὐτούς. θαυμάζω δὲ τῇ τε*
ἀποκλήσει μου τῶν πυλῶν καὶ εἰ μὴ ἀσμένοις
4 *ὑμῖν ἀφῖγμαι. ἡμεῖς μὲν γὰρ οἱ Λακεδαιμόνιοι*
οἰόμενοί τε παρὰ ξυμμάχους, καὶ πρὶν ἔργῳ ἀφι-
κέσθαι, τῇ γοῦν γνώμῃ ἥξειν καὶ βουλομένοις
ἔσεσθαι κίνδυνόν [τε] τοσόνδε ἀνεῤῥίψαμεν, διὰ
τῆς ἀλλοτρίας πολλῶν ἡμερῶν ὁδὸν ἰόντες καὶ
5 *πᾶν τὸ πρόθυμον παρεχόμενοι· ὑμεῖς δὲ εἴ τι*
ἄλλο ἐν νῷ ἔχετε, ἢ εἰ ἐναντιώσεσθε τῇ τε ὑμε-
τέρᾳ αὐτῶν ἐλευθερίᾳ καὶ τῶν ἄλλων Ἑλλήνων,
6 *δεινὸν ἂν εἴη. καὶ γὰρ οὐ μόνον ὅτι αὐτοὶ ἀν-*
θίστασθε, ἀλλὰ καί, οἷς ἂν ἐπίω, ἧσσόν τις
ἐμοὶ πρόσεισι, δυσχερὲς ποιούμενοι, εἰ, ἐπὶ οὓς
πρῶτον ἦλθον ὑμᾶς καὶ πόλιν ἀξιόχρεων πα-

Cap. **85.** §. 4. *Κίνδυνόν τε.* *Τέ* uncis notavimus, quod eo turbatur orationis series. Cf. ed. mai. Fortasse in eo latet *τοί*. Cf. III, 40, 4.

tur), exorta; quae opinio qualis fuerit, statim proximis verbis *ᾗ ... καθαιρήσειν* significatur. — *ὅτε παρέσχεν*, quando facultas est data. Cf. adn. I, 120. 3. — *κατεργάζεσθαι*, debellare, propr. conficere. Cf. Bloomf. VI, 11. 33. et supra c. 65.

§. 3. *Θαυμάζω ... τῶν πυλῶν.* De dativo vid. Matth. Gr. §. 399. c. et de duplici genitivo ex *ἀποκλήσει* apto ibid. §. 380. Ortus est ex genere dicendi *ἀποκλῄειν τινὰ τῶν πυλῶν*, excludere al. portis, non ex eo, quod V, 80. legitur.

§. 4. *Οἰόμενοί τε.* De *τέ* cf. adn. I, 16 — *παρὰ ξυμμάχους ... ἥξειν*, nos venturos ad eos, qui, vel priusquam ad ipsos re ipsa pervenissemus, animo saltem socii essent. De participio *ὄντας* non addito cf. adn. I, 6, 4. III, 70, 6. et Ind. gramm. v. Ellips. — *βουλομένοις ἔσεσθαι*] *αὐτοῖς δηλονότι τοῖς ξυμμάχοις.* Schol. Cf. adn. II, 3, 2. — *κίνδυνον ... ἀνεῤῥίψαμεν*] *ἀπὸ μεταφορᾶς τῶν κύβων.* Schol. Cf. Wund. de Lobeck. ed. Soph. Ai. p. 79. Similiter infra c. 95. V, 103. Add. Valck. ad Herodot. VII, 50. et plura in ed. mai. — *πᾶν ... παρεχόμενοι.* „Ex hoc loco Ammonius ostendit discrimen inter *παρέχειν* et *παρέχεσθαι*.“ DUK. Cf. Rost. Gr. §. 113. adn. 3.

§. 5. *Καὶ τῶν ... Ἑλλήνων.* De articulo *τῇ* non iterato cf. adn. I, 7.

§. 6. *Οὐ μόνον ὅτι.* „Simpliciter est *οὐ μόνον*, ut saepius *οὐχ ὅτι*.“ BAU. Cf. Schneid. et Saupp. ad Xen. Comment. II, 9, 8. et Stallb. ad Plat. Symp. c. 7. — *ἐπὶ ... ὑμᾶς*, i. e. *ὑμεῖς, ἐπὶ οὓς πρῶτον (πρώτους) ἦλθον.* Cf. Rost. Gr. §. 99. 8. De *πρῶτον* adverbio cf. adn. I, 53, 2. — *παρεχομένους.*

ϱεχομένους καὶ ξύνεσιν δοκοῦντας ἔχειν, μὴ ἐδέξα-
σθε· καὶ τὴν αἰτίαν οὐχ ἕξω πιστὴν ἀποδεικνύ-
ναι, ἀλλ' ἢ ἄδικον τὴν ἐλευθερίαν ἐπιφέρειν, ἢ
ἀσθενὴς καὶ ἀδύνατος τιμωρῆσαι τὰ πρὸς Ἀθη-
ναίους, ἣν ἐπίωσιν, ἀφῖχθαι. καίτοι στρατιᾷ γε 7
τῇδ', ἣν νῦν ἐγὼ ἔχω, ἐπὶ Νίσαιαν ἐμοῦ βοηθή-
σαντος, οὐκ ἠθέλησαν Ἀθηναῖοι πλέονες ὄντες
προςμῖξαι· ὥςτε οὐκ εἰκὸς νηΐτῃ γε αὐτοὺς τῷ ἐν

Cf. adnot. 64, 1. — *καὶ τὴν αἰτίαν . . . πιστὴν ἀποδεικνύναι.* In his *αἰτίαν* plerique recentiores interpretes volunt esse *τὴν τοῦ μὴ δέξασθαι.* In qua ratione Haasius Lucubr. Thuc. p. 28., quomodo *πιστὴν ἀποδεικνύναι* explicari possit probabiliter, se negat intelligere. Et explanes quidem verba hoc modo: et causam (quam, si interrogatus ero, cur Acanthii me non receperint, afferam) non potero probabilem (i. e. sic ut probabilis videatur) afferre; pro quibus negligentius secundum Portum dixeris neque huius vestri facti probabilem causam afferre potero. Fatemur tamen simpliciorem fore orationem, si articulo omisso *καὶ αἰτίαν τούτου* legeretur. Quare fortasse praestat Scholiastae explanatio ab Haack. et Haas. probata: *καὶ τὴν αἰτίαν τῆς ἐμῆς ἐξόδου λέγων οὐ πιστευθήσομαι.* Nam „ut iam antea Brasidas dixit: *ἡ μὲν ἔκπεμψίς μου . . . γεγένηται τὴν αἰτίαν ἐπαληθεύουσα, ἣν ἀρχόμενοι τοῦ πολέμου προείπομεν,* ita nunc in eandem sententiam dicit causae illi ac professioni non amplius fidem habitum iri, si Acanthii ei fidem primi denegaverint.“ HAAS. — *ἄδικον,* iniustam, i. e. quam hoc nomine vocari nefas est, (*αὐτονομίᾳ καὶ ἰσονομίᾳ* carentem). Cf. 86, 3. sqq. — *ἐπιφέρειν.* Ex superioribus non tam *ἀποδείξω,* quam propter transitum in infinitivum, de quo cf. adn. 27, 1. et VI, 78., *νομισθήσομαι, δόξω,* repetendum, vel *αἰτίαν ἕξω* diversa significatione culpabor. — *τιμωρῆσαι τὰ πρὸς Ἀθηναίους.* „Cf. VI, 56. *ξυνεπαμύνειν τὰ πρὸς τοὺς δορυφόρους.*“ ABR. Add. adn. III, 6, 2.

§. 7. *Στρατιᾷ τῇδ'.* Articulus ideo omissus videtur, quia *ὅδε* hic vim vere demonstrativam habet, qua fit, ut adverbii hic notio eo contineatur. Cf. adn. I, 51, 2. II, 74. Alia explicatio petatur ex adn. V, 75. — *ἣν νῦν ἔχω.* Hanc callidam, sed falsam iactationem esse docet Mitford. apud Bloomf. Cf. 72, 2. cum 78, 1. Affuerunt quidem tunc Brasidae etiam Chalcidenses (cf. 84, 1.), quorum numerus nobis est ignotus; sed vel sic haec vere non sunt dicta, nisi certe *τῇδ'* in *τοσῇδ'* mutatur, quod eo minus probabile est, quia Brasidas iterum mentitur in verbis *πλέονες ὄντες.* Cf. adn. 73, 4. — *ἐπὶ Νίσαιαν . . . βοηθήσαντος.* Cf. c. 70. sqq. — *ὥςτε . . . ἀποστεῖλαι.* Quamobrem (quum apud Nisaeam confligere cum hoc exercitu noluerint) Athenienses navali quidem expeditione (sumptuosa et difficili, qua maiorem exercitum transvehere non possint,) aequalem ei, qui ad Nisaeam praesto erat, . . . missuros non est verisimile. Ita haec intelligenda esse docuimus in ed. mai. Comment. et Suppl. De difficultate magnum exercitum navibus transportandi vid. VI, 37. Ad *νηΐτῃ* vocem, quam cum *στρατῷ* substantivo II, 24. iunctam legimus, idem nomen, quod in Ven. post *γέ* interponitur, facile ex iis, quae sequuntur, subauditur. Nam Portus et Reiskius quidem *νηΐτῃ τῷ ἐν Νισαίᾳ* iunxerunt. Sed Nisaeam exigua Atheniensium exercitus pars navibus advecta est (67, 1.), multo maior terrestri itinere advenit (68, 5.). Quod si hoc tertium mendacium Brasidae velis esse, id primum Acanthiis suspectum esse oportebat Atticam Megaridi finitimam esse non ignorantibus. Deinde et additum *γέ* et collocatio *αὐτούς* pronominis, ne *νηΐτῃ τῷ ἐν Νισαίᾳ* arcte iungantur, dissuadet, et ipsa sententia *νηΐτῃ* a ceteris separato fit melior.

Νισαίᾳ στρατῷ ἴσον πλῆθος ἐφ' ὑμᾶς ἀποστεῖλαι.
1 86. *αὐτός τε οὐκ ἐπὶ κακῷ, ἐπ' ἐλευθερώσει δὲ*
τῶν Ἑλλήνων παρελήλυθα, ὅρκοις τε Λακεδαιμο-
νίων καταλαβὼν τὰ τέλη τοῖς μεγίστοις ἦ μὴν
οὓς ἂν ἔγωγε προςαγάγωμαι ξυμμάχους ἔσεσθαι
αὐτονόμους, καὶ ἅμα οὐχ ἵνα ξυμμάχους ὑμᾶς
ἔχωμεν ἢ βίᾳ ἢ ἀπάτῃ προςλαβόντες, ἀλλὰ τοὐ-
ναντίον ὑμῖν δεδουλωμένοις ὑπὸ Ἀθηναίων ξυμ-
2 *μαχήσοντες. οὔκουν ἀξιῶ οὔτ' αὐτὸς ὑποπτεύεσθαι*
πίστεις γε διδοὺς τὰς μεγίστας, οὔτε τιμωρὸς
ἀδύνατος νομισθῆναι, προςχωρεῖν τε ὑμᾶς θαρ-

§. 7. *Ἐν Νισαίᾳ.* Pal. *ἐκεῖ,* quasi illa ex interpretatione orta sint. Tum Cass. *ἡμᾶς,* quod placet Goellero.

Cap. **86.** §. 2. *Πίστεις γε* ex Reiskii coniectura nunc a Bekk. recepta. Vulgo *πίστεις τε.* *Τέ* om. Ar. Chr. Dan.

Προςχωρεῖν τε. Bekk. *προςχωρεῖν δέ* de coniectura, quam eo minus recepimus, quia in superioribus aliquid depravatum esse verisimile est. Cf. adn.

Cap. **86**. §. 1. *Αὐτός τε.* Male hinc novum caput incipit, quum verborum *ἢ ἄδικον τὴν ἐλευθερίαν ἐπιφέρειν, ἢ ἀσθενὴς καὶ ἀδύνατος ἀφῖχθαι,* c. 85. §. 5. prior pars ibid. §. 6., altera c. 86. §. 1. illustretur, quo facto sententia praecipua §. 2. iteratur. — *ὅρκοις τε.* Huic *τέ* respondent particulae *καὶ ἅμα.* Duas enim causas Brasidas affert, ob quas Acanthii honestati suae confidant. Dicendi genus *ὅρκοις καταλαμβάνειν τινά,* iuribus iurandis obstringere, hic a Bloomf. illustratum iam I, 9. affuit. Cf. *ἐγκαταλ.* supra c. 19. — *τοῖς μεγίστοις.* Cf. adn. V, 18, 9. Ceterum revera non a Brasida, sed a Chalcidensium legatis, Lacedaemoniorum magistratus hoc iure iurando obligatos esse suspicatur Thirw. Hist. Gr. c. 23. p. 275.; sed id propter verba c. 88. parum est credibile.

§. 2. *Αὐτός.* Hoc suspectum esse, vel, si germanum sit, antea *οὐκοῦν* ex Pal. et postea *οὐδέ* scribendum videri, ut *οὔτ' αὐτὸς ὑποπτεύεσθαι* opponantur verbis *προςχωρεῖν τε ὑμᾶς,* docuimus in ed. mai. sd. et adn.

ἔπειτα δεικνυσιν, ὅτι οὐκ ἀσαφῆ οὐδὲ ἐπὶ τοῖς ὀλίγοις οὖσαν τὴν ἐλευθερίαν ἐπιφέρει.

σήσαντας. καὶ εἴ τις ἰδίᾳ τινὰ δεδιὼς ἄρα, μὴ 3
ἐγώ τισι προσθῶ τὴν πόλιν, ἀπρόθυμός ἐστι,
πάντων μάλιστα πιστευσάτω. οὐ γὰρ ξυστασιά- 4
σων ἥκω, οὐδὲ ἀσαφῆ τὴν ἐλευθερίαν νομίζω
ἐπιφέρειν, εἰ τὸ πάτριον παρεὶς τὸ πλέον τοῖς
ὀλίγοις ἢ τὸ ἔλασσον τοῖς πᾶσι δουλώσαιμι. χα- 5
λεπωτέρα γὰρ ἂν τῆς ἀλλοφύλου ἀρχῆς εἴη, καὶ ἡμῖν τοῖς Λακεδαιμονίοις οὐκ ἂν ἀντὶ πόνων χάρις καθίσταιτο, ἀντὶ δὲ τιμῆς καὶ δόξης αἰτία μᾶλλον· οἷς τε τοὺς Ἀθηναίους ἐγκλήμασι καταπολεμοῦμεν, αὐτοὶ ἂν φαινοίμεθα ἐχθίονα ἢ ὁ

§. 4. *Ξυστασιάσων.* Libri mss. et Bekk. *συστασιάσων.* Cf. sd. 25, 3.

§. 5. *Χαλεπωτέρα.* Reg. *χαλεπώτερα*, quod defendi potest. Cf. Matth. Gr. §. 443. 1. a. In D. *χαλεπώτερον.* Cf. etiam Vall. Ad vulgatam subaudi *ἡ ἀσαφὴς ἐλευθερία.*

Φαινοίμεθα. In plerisque membranis male *φαινώμεθα* et §. 6. *τοῖς τε* pro *τοῖς γε.* Illud *φαινώμεθα* recepit Hofmanus confundens syntaxin Homericam cum Attica.

§. 3. *Καὶ εἴ τις* cet. Tertiam rem, quam quis praeter duas 85, 6. dictas Brasidae opponat, paucorum dominatus ne ab eo constituatur, metuendum esse contendens, Laco ita refutat usque ad c. 87. §. 1., ut honestatem vera sociorum libertate constituta probatam sibi ipsis utilem esse ostendat. — *ἀπρόθυμος.* Ex superioribus supple *προςχωρεῖν.*

§. 4. *Οὐδὲ ἀσαφῆ ... ἐπιφέρειν, εἰ*, neque ambiguam in animo habeo vobis libertatem afferre, quod fieret, si ... Insignis enim hic est brevitas pro his: *οὐδὲ ἀσαφῆ τὴν ἐλευθερίαν νομίζω ἐπιφέρειν, ἐπιφέροιμι δ' ἂν (ἀσαφῆ τὴν ἐλευθερίαν), εἰ* cet. Comparari potest cum hoc loco alter III, 11, 3., ubi vid. adn., et Platonicus Apol. Socr. c. 5., ubi cf. Stallb. De *νομίζω* verbo ita posito, ut apud infinitivum omissum esse *χρῆναι* videatur, vel potius cogito, in animo habeo, valeat, vid. Lob. ad Phryn. p. 753. et adn. II, 42. IV, 117. — *τὸ πάτριον παρείς.* *Τὴν πάτριον ἑκάστοις πολιτείαν καταλύσας* interpretatur Schol. Quam explanationem praeter alios probat Thirw. Hist. Gr. c. 23. p. 275., estque ea sententia aptissima, quamvis potius verbis *τὰ πάτρια καταλύσας* similibusve exprimenda videatur. Arnoldus igitur vult sonare neglecto patrio (a patribus mihi tradito) instituto, verbis sane convenienter; sed oritur ita mendacium tale, quale Brasidam ausum esse dicere non magis quam id, de quo c. 85. extr. negavimus, probabile est, quum Lacedaemonios paucorum imperio usos esse Acanthiis ignotum esse non potuerit. — *τὸ πλέον ... τὸ ἔλασσον.* Cf. adn. II, 45, 1.

§. 5. *Χαλεπωτέρα γάρ* cet. Ratio redditur, cur *ἀσαφῆ ἐλευθερίαν* afferre non cogitet. Ceterum cf. sd. — *οἷς τε ... κατακτώμενοι.* Et propter quae crimina Athenienses bello persequimur, (ea) odiosiora (i. e. ita ut sint odiosiora) nos, quam qui

6 μὴ ὑποδείξας ἀρετὴν κατακτώμενοι. ἀπάτη γὰρ
εὐπρεπεῖ αἴσχιον τοῖς γε ἐν ἀξιώματι πλεονεκτῆσαι ἢ βίᾳ ἐμφανεῖ· τὸ μὲν γὰρ ἰσχύος δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν, ἐπέρχεται, τὸ δὲ γνώμης ἀδί-
1 κου ἐπιβουλῇ. 87. οὕτω πολλὴν περιωπὴν τῶν
ἡμῖν ἐς τὰ μέγιστα διαφόρων ποιούμεθα. καὶ οὐκ ἂν μείζω πρὸς τοῖς ὅρκοις βεβαίωσιν λάβοιτε ἢ οἷς τὰ ἔργα ἐκ τῶν λόγων ἀναθρούμενα δόκησιν ἀναγκαίαν παρέχεται, ὡς καὶ ξυμφέρει

ἕπονται ἀπειλαί τε, εἰ οἱ Ἀκάνθιοι ἡσυχίαν ἄγειν προέλοιντο, καὶ τὸ τέλος παραινέσεις.

Cap. 87. §. 1. *Διαφόρων* Reg. Bekk., et ita legendum esse docuit Duk. Cf. adn. Cl. *διαφορων* sine accentu. Vulgo *διαφορῶν.*

virtutem non prae se tulit, videamur contrahere seu incurrere. *Ἐγκλήματα* sunt, quod libertas urbium sociarum opprimatur. De dativo vid. Matth. Gr. §. 398. b., de *καταπολεμεῖν* adn. II, 7, 3. Verba *ὁ μὴ ... ἀρετήν* eo referenda, quod Athenienses non, ut Lacedaemonii, se Graeciae libertatem daturos professi erant; Lacedaemonii enim *τὴν ἀξίωσιν τῆς ἀρετῆς ὡς ἐλευθεροῦντες τὴν Ἑλλάδα ἐφέροντο.* Denique *φθόνον, μῖσος*, alia similia *κατακτᾶσθαι* Graecos dicere, quod sit sich zuziehen, affirmat Bau. Exempla quidem eiusmodi in Steph. Thes. frustra quaesivimus; quum tamen *κατακτᾶσθαι* sit sibi acquirere, sibi parare, velut *κράτος* et *νοῦν* apud Soph., illam vim facile oriri perspicuum est.

§. 6. *Ἀπάτη γὰρ ... ἐπιβουλῇ.* „Cf. I, 77. et Aristot. Rhet. I, 11. Xen. Hell. III, 5, 15.“ ARN. Item Cic. Off. I, 13, 10. De *εὐπρεπής* cf. adn. 61, 8. — *ἰσχύος δικαιώσει*, iure potentiae, Port. Cf. adnot. I, 141, 1.

Cap. 87. §. 1. *Οὕτω.* Hinc, non, ut vulgo fit, ab *καὶ οὐκ* novum caput ordiendum erat, nisi omnem hanc paragraphum ad superius caput referre maluimus, quod sane optime fieret. Nam „Brasidas hic omnia, quae ad suam et civitatis suae sinceritatem probandam [a 86, 3.] dixit, summatim repetit.“ ARN. — *περιωπήν.* „Inter auctoris glossematica reponunt Dion. Hal. t. II. pag. 133. [p. 793. R.] et Suidas [cum Phot. et Phav., qui vim sic illustrant: *καλεῖ δὲ (Θουκ.) περιωπὴν τὴν φροντίδα καὶ τὴν περίσκεψιν, οὐ τὸν τόπον, ὡς Ὅμηρος.*] *Περιάθρησιν* expl. Pollux II, 54. [*Περίσκεψιν, περιάθρησιν, πρόνοιαν* Schol.] Usus est Agathias II, 54. Cf. etiam Hesych.“ DUK. — *τῶν ... διαφόρων*, rerum, quae nostra maxime intersunt. Cf. Duk. et adn. I, 68, 2. — *ἢ οἷς ... εἶπον.* „Verte: quam ab iis, quibus res ipsae cum eorum professionibus comparatae necessario fidem faciunt ea ipsa iis esse utilia, quae prae se ferant. *Εἶπον* dixerunt, non dixi.“ DOBR. Ante *οἷς* pronomen proprie cogitandum *τούτων*, et *βεβαίωσις τούτων* est eine von denen ausgehende Gewährleistung, ideoque fides ab iis accepta. Ita concidunt dubitationes contra hanc explicationem motae a Krohl. in Quaest. Thuc. I. p. 12., cuius enodationem refellimus in Comment. antiqu. stud. a. 1842. p. 132. De aliis explanationibus vid. ed.

ὁμοίως, ὡς εἶπον. εἰ δ' ἐμοῦ ταῦτα προϊσχομέ- 2
νου ἀδύνατοι μὲν φήσετε εἶναι, εὖνοι δ' ὄντες
ἀξιώσετε μὴ κακούμενοι διωθεῖσθαι, καὶ τὴν
ἐλευθερίαν μὴ ἀκίνδυνον ὑμῖν φαίνεσθαι, δί-
καιόν τε εἶναι, οἷς καὶ δυνατὸν δέχεσθαι αὐτήν,
τούτοις καὶ ἐπιφέρειν, ἄκοντα δὲ μηδένα προσ-
αναγκάζειν, μάρτυρας μὲν θεοὺς καὶ ἥρωας τοὺς
ἐγχωρίους ποιήσομαι, ὡς ἐπ' ἀγαθῷ ἥκων οὐ
πείθω, γῆν δὲ τὴν ὑμετέραν δῃῶν πειράσομαι
βιάζεσθαι. καὶ οὐκ ἀδικεῖν ἔτι νομιῶ, προσεῖναι 3
δέ τί μοι καὶ κατὰ δύο ἀνάγκας τὸ εὔλογον, τῶν
μὲν Λακεδαιμονίων, ὅπως μὴ τῷ ὑμετέρῳ εὔνῳ,
εἰ μὴ προσαχθήσεσθε, τοῖς ἀπὸ ὑμῶν χρήμασι
φερομένοις παρ' Ἀθηναίους βλάπτωνται, οἱ δὲ
Ἕλληνες ἵνα μὴ κωλύωνται ὑφ' ὑμῶν δουλείας

§. 2. *Ὑμῖν.* Cass. Aug. Cl. (hic a pr. man.) T. F. Pal. It. Vat. H. Mosqu. Bekk. *ἡμῖν.* Vulgatam agnoscunt Vall. et Schol. Cf. adnotat.

mai. *Ἀναθρούμενα* Suidas et alii lexicographi interpretantur *ἀνασκοπούμενα.* De *δοκήσεως* voce cf. adn. II, 35, 2.

§. 2. *Εὖνοι δ' ὄντες ... διωθεῖσθαι*, sed si tamen, quod benevoli (nobis) sitis, sine damno vestro nos reiicere velitis, sive poscatis, ut incolumibus liceat vobis nos reiicere. Verbi *διωθεῖσθαι* exempla, ut IV, 108., protulit Dobr. — *φαίνεσθαι.* Ad hunc infinitivum, si *ὑμῖν* recte scriptum est (cf. sd.), ut ad eum, qui sequitur, ex *ἀξιώσετε* verbo repetendum est *φήσετε*. Cf. adn. IV, 3. Sin *ἡμῖν* legendum est, hoc *φήσετε* ad *εἶναι* demum subaudiendum, hic ipsum *ἀξιώσετε* cogitandum. Nobis tamen illud placet. — *προσαναγκάζειν.* Cf. adn. I, 106, 1. III, 61, 2. — *θεοὺς ... τοὺς ἐγχωρίους.* Cf. adn. II, 71, 4. Non *ἥρωας*, sed *ἥρως* dici vult Phryn.; alterum tamen etiam apud Xen. Cyr. III, 3, 21. et apud Plat. (vid. Ast. Lex. Plat.) exstat.

§. 3. *Ἀνάγκας*, causas necessarias. — *τῶν μὲν Λακεδαιμονίων.* Genitivus ex v. *ἀνάγκας* vel potius ex singulari *ἀνάγκην* inde repetendo pendet. Est autem *ἀνάγκη Λακεδαιμονίων* necessitas spectans ad Lacedaemonios. — *τῷ ὑμετέρῳ εὔνῳ.* Similiter V, 98: *τῷ ὑμετέρῳ ξυμφόρῳ*, VI, 16: *τῷ ἐμῷ διαπρεπεῖ.* Cf. adn. I, 37. Quum autem dativus hic debeat esse instrumenti, „verba *τοις ἀπὸ ὑμῶν ... φερομένοις* addita sunt ad illa *τῷ ὑμετέρῳ εὔνῳ* explananda, quae idem sonant atque *ὅπως μὴ ὑμῖν, καίπερ εὔνοις, ὡς προφέρετε, οὖσιν.* Cf. III, 47: *τὸ Κλέωνος τὸ αὐτὸ δίκαιον καὶ ξυμφέρον.*“ ARN. — *τοῖς ... χρήμασι φερομένοις.* De collocatione verborum cf. adn. I, 90, 1. — *οἱ δὲ Ἕλληνες.* Attende orationem mutatam casu ad *κωλύωνται* relato.

4 *ἀπαλλαγῆναι. οὐ γὰρ δὴ εἰκότως γ' ἂν τάδε*
πράσσοιμεν, οὐδὲ ὀφείλομεν οἱ Λακεδαιμόνιοι μὴ
κοινοῦ τινος ἀγαθοῦ αἰτίᾳ τοὺς μὴ βουλομένους
5 *ἐλευθεροῦν. οὐδ' αὖ ἀρχῆς ἐφιέμεθα, παῦσαι δὲ*
μᾶλλον ἑτέρους σπεύδοντες τοὺς πλείους ἂν ἀδι-
κοῖμεν, εἰ ξύμπασιν αὐτονομίαν ἐπιφέροντες ὑμᾶς
6 *τοὺς ἐναντιουμένους περιίδοιμεν. πρὸς ταῦτα βου-*
λεύεσθε εὖ, καὶ ἀγωνίσασθε τοῖς τε Ἕλλησιν ἄρ-
ξαι πρῶτοι ἐλευθερίας καὶ ἀΐδιον δόξαν κατα-
θέσθαι, καὶ αὐτοὶ τά τε ἴδια μὴ βλαφθῆναι καὶ
ξυμπάσῃ τῇ πόλει τὸ κάλλιστον ὄνομα περιθεῖναι.“
1 88. *Ὁ μὲν Βρασίδας τοσαῦτα εἶπεν. οἱ δὲ*
Ἀκάνθιοι, πολλῶν λεχθέντων πρότερον ἐπ' ἀμ-
φότερα, κρύφα διαψηφισάμενοι διά τε τὸ ἐπα-

Ἄκανθος καὶ ὕστερον καὶ Στάγειρος πρὸς Βρασίδαν ἀφίστανται.

§. 4. *Οὐ γὰρ ... τάδε πράσσοιμεν.* Si, id quod Britanni eruditi censent, haec valent alioqui profecto non decenter haec (*τὸ γῆν δῃοῦντες πειρᾶσθαι βιάζεσθαι* §. 2.) faceremus, pro vulgatis *τάδε πράσσοιμεν* ex Dobraei coniectura *τάδ' ἐπράσσομεν* legas. Cf. adn. I, 11, 1. 102, 2. De alia explicatione, ex qua *τάδε* ad *τὸ ἐᾶν κωλύεσθαι τοὺς Ἕλληνας ὑπ' Ἀκανθίων δουλείας ἀπαλλαγῆναι* refertur, cf. ed. mai. — *μὴ κοινοῦ τινὸς ἀγαθοῦ αἰτίᾳ*, nisi alicuius boni publici causa. Proprie supplendum *ἐλευθεροῦντες.* — *τοὺς μὴ βουλομένους.* Intell. *ἐλευθεροῦσθαι.*

§. 5. *Οὐδ' αὖ*, neque vero. Cf. adn. I, 15, 2. — *παῦσαι.* Repete *ἀρχῆς.* Cf. III, 40. al. — *τοὺς ἐναντιουμένους περιίδοιμεν*, i. e. *τοὺς (τῇ αὐτονομίᾳ) ἐναντιουμένους περιίδοιμεν ἐναντιουμένους.* Ita his explicatis non opus videtur Kruegeri coniectura *τοῦτ' ἐναντ.* etiam ideo improbanda, quod *τούτῳ* desideraretur.

§. 6. *Πρὸς ταῦτα.* Cf. adn. I, 71, 7. — *ἀγωνίσασθε.* Cf. adn. III, 38, 2. — *ἄρξαι πρῶτοι.* Cf. adn. II, 36, 1. — *καταθέσθαι.* Propr. vobis recondere, i. e. parare. Cf. adn. I, 128, 4. — *βλαφθῆναι.* Cf. adn. IV, 73, 4. — *περιθεῖναι.* Cf. VI, 89: *ἐμοὶ δὲ ἀτιμίαν περιέθετε.* Ab ornatu translatum est ad alia, et similiter Tacitum aliquoties circumdare alicui aliquid de conciliando dixisse docent interpr. Agric. c. 20.

Cap. 88. §. 1. *Ἐπ' ἀμφότερα.* Cf. adnot. I, 83, 3. — *κρύφα διαψηφισάμενοι.* „Hoc Demosthenes et alii oratores Attici plerumque dicunt *κρύβδην ψηφίσασθαι*, id est tabella suffragium ferre. [Contrarium] *ψῆφον φανερὰν διενεγκεῖν* dixit Thuc. supra c. 74., voce suffragium ferre.“ DUK. Non solum voci, qua Lacedaemonii suffragia dabant I, 87., sed etiam manibus porrectis (*τῷ χειροτονεῖν*, de quo item *ψηφίζεσθαι* legitur) atque adeo calculorum usui cuidam, qui explicatur Lys. adv. Agorat. p. 467., sed ad iudicia spectat, potest contrarium esse. Iunctum autem verbum *διαψηφίζεσθαι* proprie de complu-

γωγὰ εἰπεῖν τὸν Βρασίδαν καὶ περὶ τοῦ καρποῦ
φόβῳ ἔγνωσαν οἱ πλείους ἀφίστασθαι Ἀθηναίων,
καὶ πιστώσαντες αὐτὸν τοῖς ὅρκοις, οὓς τὰ τέλη
τῶν Λακεδαιμονίων ὀμόσαντα αὐτὸν ἐξέπεμψαν,
ἦ μὴν ἔσεσθαι ξυμμάχους αὐτονόμους οὓς ἂν
προσαγάγηται, οὕτω δέχονται τὸν στρατόν. καὶ 2
οὐ πολλῷ ὕστερον καὶ Στάγειρος Ἀνδρίων ἀποι-
κία ξυναπέστη. ταῦτα μὲν οὖν ἐν τῷ θέρει τούτῳ
ἐγένετο.

Δημοσθένης μὲν ταῖς Σίφαις ἐπιβουλεύων ἄπρακτος γίγνεται.

89. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς 1
ἀρχομένου, ὡς τῷ Ἱπποκράτει καὶ Δημοσθένει
στρατηγοῖς οὖσιν Ἀθηναίων τὰ ἐν τοῖς Βοιωτοῖς
ἐνεδίδοτο, καὶ ἔδει τὸν μὲν Δημοσθένην ταῖς
ναυσὶν ἐς τὰς Σίφας ἀπαντῆσαι, τὸν δ' ἐπὶ τὸ Δή-
λιον, γενομένης διαμαρτίας τῶν ἡμερῶν, ἐς ἃς ἔδει
ἀμφοτέρους στρατεύειν, ὁ μὲν Δημοσθένης πρό-
τερον πλεύσας πρὸς τὰς Σίφας καὶ ἔχων ἐν ταῖς
ναυσὶν Ἀκαρνᾶνας καὶ τῶν ἐκεῖ πολλοὺς ξυμμά-
χων ἄπρακτος γίγνεται, μηνυθέντος τοῦ ἐπιβου-

ribus hominibus super quaestione aliqua suffragia deinceps ferentibus dici, quanquam minus proprie etiam de singulis suffragium alterutram in partem ferentibus legatur, explicat Arn. Hic illa sententia ei subiecta est. — *περὶ τοῦ καρποῦ φόβῳ.* Cf. 84, 2. — *πιστώσαντες αὐτὸν τοῖς ὅρκοις.* Usitatius hac vi est medium. Cf. Soph. Oed. C. v. 650. et ed. mai. — *ὀμόσαντα.* „Non ad *αὐτόν* referri debet, sed ad *τέλη*, ἅπερ ὀμόσαντα τοὺς ὅρκους αὐτὸν ἐξέπεμψαν, ut constat ex iis, quae supra [c. 86.] dixit Brasidas, ὅρκοις τε καταλαβὼν τὰ Λακεδαιμονίων τέλη τοῖς μεγίστοις." AE. PORT. Cf. Arn. Dubitanter loquitur Thirw. Hist. Gr. c. 23. p. 276. — *ἐξέπεμψαν.* Cf. ad. I, 126, 5. — *οὕτω.* Cf. adn. III, 96, 2.

§. 2. *Στάγειρος.* De hac notissima patria Aristotelis vid. Wass., qui praeter alia conditam esse Archilochi et Thaletis temporibus, atque saepe etiam *τὰ Στάγειρα* scribi adnotat, et de situ Herodot. VII, 115. et Leak. Graec. septentr. III. pag. 167., qui prope recentiorem *Λυβιάδαν* seu *Λυμπτζιάδαν* collocat.

Cap. 89. Cf. Diod. XII, 69. sq. — §. 1. *τὰ ἐν ... ἐνεδίδοτο.* Cf. c. 76. — *ἐς τὰς Σίφας ἀπαντῆσαι.* „*Ἀπαντᾶν* saepe est certo tempore vel loco adesse, praesto esse, ut ἀπαντᾶν ἐπὶ τὴν δίκην, ἐπὶ τὴν κυρίαν, ἐπὶ τὸ δικαστήριον, ἐπὶ τὴν δίαιταν ... Cf. supra c. 70. [et clarius exemplum c. 77.] Latini occurrere dicunt." DUK. *Ἀφικνεῖσθαι* interpretatur Lecapen. p. 56. De Siphis et de Delio vid. 76, 3 4. — *ἐς ἅς.* *Ἐς* est Latinum ad. Cf. de eo adn. III, 84, 2. — *πρότερον.* Ne propter masculinum *ὕστερος* 90, 1. *πρότερος* scribendum existimes, cf. adn. I, 53, 2. — *καὶ τῶν ... ξυμμάχων.* Velut recentium sociorum Oeniadarum et Agraeorum. Cf. 77, 2. 101, 3. — *Φανοτέως.* Cf. adn. 76, 3.

§. 2. *Χαιρώνεια.* Cf. 76, 3. — *οἱ πράσσοντες.* „Adnotat Casaub. ad Polyb. p. 185. *πράσσειν* saepe idem esse ac prodere, eamque significationem huius verbi quum ex hoc Thucydidis tum ex aliorum scriptorum locis ostendit ... Sic etiam h. l. accipit Schol. (quanquam non recte *ἁμάρτημα* exponit *προδοσίαν* pro *διαμαρτίαν τῶν ἡμερῶν*, quam memorat Thuc., vel *τὸ ἁμάρτημα* imperatorum Atheniensium,) et c. 74. 76. 110. 113. itidem de proditione interpretatur. Habet haec vox in universum significationem clandestinae molitionis et partium studii." DUK. Cf. adn. I, 131, 1.

Cap. 90. §. 1. *Ἀναστήσας.* Cf. adn. II, 68, 1. — *τοὺς μετοίκους.* De his expeditionis sociis cf. adn. II, 13, 7. 31, 2., deque distinctione eorum et peregrinorum I, 143, 1. — *καὶ ξένων ὅσ. παρ.* „*Ξένους* quoque ad arma capienda excitatos esse valde memorabile est." BLOOMF., apud quem vide plura. — *τὸ ἱερὸν τοῦ Ἀπόλλωνος.* Haec nec ideo damnanda sunt, quod similia iam legimus c. 76., (nam complures earundem sententiarum iterationes reperiuntur apud Thuc., cf. II, 27. cum IV, 56. et adn. II, 51, 1.) nec ideo, quia appositio a nomine suo disiuncta est (cf. adn. II, 12, 1.)

§. 2. *Περὶ τὸ ἱερὸν καὶ τὸν νεών.* „*Ἱερόν* et *νεών* hic distingui, quum alioqui saepe pro eodem dicantur, observat in Thes. Stephanus. Distinguuntur etiam [V, 18. et] a Paus. V, 6." DUK. De discrimine eorum cf. adn. I, 134, 1. Valck. ad Herodot. VI, 19. Wachsm. Antiqu. Gr. II. 2. p. 218. Sic templum et aedes Plin. Paneg. c. 36., ubi vid. interpr. — *ἀντὶ τείχους.* Plenius II, 3, 2. — *τὸν χοῦν.*

λεύματος ὑπὸ Νικομάχου ἀνδρὸς Φωκέως ἐκ
Φανοτέως, ὃς Λακεδαιμονίοις εἶπεν, ἐκεῖνοι δὲ
2 Βοιωτοῖς. καὶ βοηθείας γενομένης πάντων Βοιω-
τῶν, (οὐ γάρ πω Ἱπποκράτης παρελύπει ἐν τῇ
γῇ ὤν) προκαταλαμβάνονται αἵ τε Σῖφαι καὶ
ἡ Χαιρώνεια. ὡς δὲ ᾔσθοντο οἱ πράσσοντες τὸ
ἁμάρτημα, οὐδὲν ἐκίνησαν τῶν ἐν ταῖς πόλεσιν.

Ἱπποκράτης δὲ Δήλιον τειχίζει, ὃ ποιήσας μέρος τῆς στρατιᾶς ἀποπέμπει.

1 90. ὁ δὲ Ἱπποκράτης ἀναστήσας Ἀθηναίους παν-
δημεί, αὐτοὺς καὶ τοὺς μετοίκους καὶ ξένων ὅσοι
παρῆσαν, ὕστερος ἀφικνεῖται ἐπὶ τὸ Δήλιον, ἤδη
τῶν Βοιωτῶν ἀνακεχωρηκότων ἀπὸ τῶν Σιφῶν·
καὶ καθίσας τὸν στρατὸν Δήλιον ἐτείχιζε τοιῷδε
2 τρόπῳ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. τάφρον μὲν κύ-
κλῳ περὶ τὸ ἱερὸν καὶ τὸν νεὼν ἔσκαπτον, ἐκ δὲ
τοῦ ὀρύγματος ἀνέβαλλον ἀντὶ τείχους τὸν χοῦν,

Cap. 90. §. 1. *Ὕστερος.* F. E. m. *ὕστερον*, et cap. praeced. omnes libri ὁ *μὲν Δημοσθένης πρότερον πλεύσας.* Inaequalitas tamen ferenda videtur, praesertim quum *ὕστερον* apud veniendi verba alibi aliter dicatur (cf. adn. II, 80, 7.), *πρότερον* autem adn. 89, 1. excusatum sit.

καὶ σταυροὺς παρακαταπηγνύντες, ἄμπελον κόπτοντες τὴν περὶ τὸ ἱερὸν ἐςέβαλλον, καὶ λίθους ἅμα καὶ πλίνθον ἐκ τῶν οἰκοπέδων τῶν ἐγγὺς καθαιροῦντες, καὶ παντὶ τρόπῳ ἐμετεώριζον τὸ ἔρυμα. πύργους τε ξυλίνους κατέστησαν, ᾗ καιρὸς ἦν, καὶ τοῦ ἱεροῦ οἰκοδόμημα οὐδὲν ὑπῆρχεν·

§. 2. *Παρακαταπηγνύντες.* Cass. Aug. Cl. T. F. Vat. H. Lugd. *καταπηγνύντες.* Vulgata tamen vix potuit temere oriri et est hic aptissima. Similiter enim *ξύλα παροικοδομεῖν* II, 75. et *ἐπιπαρένησαν* II, 77., ubi cf. Dobr. *Σταυροὺς κατέπηξαν* tamen legimus VII, 25.

Cf. adn. II, 76, 2. — *καὶ σταυροὺς ... καθαιροῦντες.* Si verborum II, 75: *ξύλα τέμνοντες παρῳκοδόμουν ἑκατέρωθεν, φορμηδὸν ἀντὶ τοίχων τιθέντες, ὅπως μὴ διαχέοιτο πολὺ τὸ χῶμα· ἐφόρουν δὲ ὕλην ἐς αὐτὸ καὶ λίθους καὶ εἴ τι ἄλλο ἀνύτειν μέλλοι ἐπιβαλλόμενον* memineris, et verba *καὶ παντὶ τρόπῳ ἐμετεώριζον τὸ ἔρυμα* perpenderis, etiam *ἄμπελον*, ut lapides atque lateres, ad terram aggestam firmandam et munitionem altiorem reddendam adhibitam esse tibi persuadebis. Auditis igitur ad *ἐςέβαλλον* verbis *ἐς τὸν χοῦν* sic interpretare: et vallos propter fossam defigentes, vites, quae circum templum erant, excisas et simul lapides atque lateres ex proximis aedificiis detractos in terram aggestam (seu aggerem) iniiciebant (infigebant). Nam posses quidem etiam commate post *ἐςέβαλλον* deleto et hoc verbo ad sola *καὶ λίθους καὶ πλίνθον* relato enunciatum sic convertere: et vallos vitibus, quae circa templum erant, excisis propter humum egestam defigentes, simul et lapides et lateres ... detractos iniiciebant. Quam explicationem ex duabus in ed. mai. propositis praeferendam esse docere aggressus est Haack. Lucubr. Thuc. p. 15. Sed „ut ne diiudicem, an vites faciendis vallis aptae sint, primum elucet, quum humus e fossa egesta ad iustam aggeris altitudinem non sufficeret, Athenienses omni alia materia *μετεωρίζειν τὸ ἔρυμα* conatos esse. Utuntur igitur hoc loco cratibus vel fasciculis ex vitibus alligatis et simul lapidibus et lateribus, uti II, 75. Lacedaemonii. Ita demum etiam illud recte se habet, *καὶ λίθους ἅμα*; in quo, si Haasium sequaris, aut *καί* aut *ἅμα* supervacaneum est. Deinde scriptor c. 100. non vallos, sed murum incensum esse ait (*ἧψε τοῦ τείχους*) Porro mirum quoque est, si in aggere non alia alimenta ignis quam valli rari inerant, ignem facile propagari potuisse, et magis etiam mirum istis vallis viteis esse tantum incendium factum, *ὥςτε μηδένα ἔτι ἐπ' αὐτοῦ (τοῦ τείχους) μεῖναι* c. 100. Denique vide, num scriptor eodem c. 100. murum solis vallis infixis *ᾠκοδομῆσθαι* apte dicere potuerit." HOFM. De singularibus *ἄμπελον* et *πλίνθον* vid. adn. II, 4, 2., de *καθαιρεῖν* verbo adn. II, 14, 1. *Οἰκόπεδα* nihil esse nisi aedificia verisimile est propter verba II, 75: *ἐκ τῶν ἐγγὺς οἰκιῶν καθαιροῦντες.* — *καιρός.* Cf. adn. 54, 4. — *καὶ τοῦ ... ὑπῆρχεν*, et ubi templi (sive fani) nullum erat aedificium. De talibus aedificiis cf. I, 134, 1. — *ἦν*, aliquando erat, fuerat. Explicatur, cur ab hac parte nullum aedificium fuerit. Quum autem plerumque porticu *περίβολος* seu murus *τοῦ ἱεροῦ* continuaretur, si illa superfuisset, suppleri ea locum turrium quodammodo potuisse adnotat Bloomf.

3 ἧπερ γὰρ ἦν στοά, καταπεπτώκει. ἡμέρᾳ δὲ ἀρ-
ξάμενοι τρίτῃ, ὡς οἴκοθεν ὥρμησαν, ταύτην τε
εἰργάζοντο καὶ τὴν τετάρτην καὶ τῆς πέμπτης
4 μέχρι ἀρίστου. ἔπειτα, ὡς τὰ πλεῖστα ἀπετετέλε-
στο, τὸ μὲν στρατόπεδον προαπεχώρησεν ἀπὸ τοῦ Δηλίου οἷον δέκα σταδίους ὡς ἐπ' οἴκου πορευόμενον, καὶ οἱ μὲν ψιλοὶ οἱ πλεῖστοι εὐθὺς ἐχώρουν, οἱ δ' ὁπλῖται θέμενοι τὰ ὅπλα ἡσύχαζον· Ἱπποκράτης δὲ ὑπομένων ἔτι καθίστατο φυλακάς τε καὶ τὰ περὶ τὸ προτείχισμα, ὅσα ἦν ὑπόλοιπα, ὡς χρῆν ἐπιτελέσαι. 91. οἱ δὲ Βοιωτοὶ ἐν ταῖς ἡμέραις ταύταις ξυνελέγοντο ἐς τὴν Τάναγραν· καὶ ἐπειδὴ ἀπὸ πασῶν τῶν πόλεων παρῆσαν καὶ ᾐσθάνοντο τοὺς Ἀθηναίους προχωροῦντας ἐπ' οἴκου, τῶν ἄλλων βοιωταρχῶν, οἵ εἰσιν ἕνδεκα, οὐ ξυνεπαινούντων μάχεσθαι, ἐπειδὴ οὐκ ἐν τῇ Βοιωτίᾳ ἔτι εἰσί, (μάλιστα γὰρ ἐν μεθορίοις τῆς Ὠρωπίας οἱ Ἀθηναῖοι ἦσαν, ὅτε ἔθεντο τὰ ὅπλα,) Παγώνδας ὁ Αἰολάδου, βοιωταρ-

οἱ δὲ Βοιωτοὶ ξυλλέγονται ἐς Τάναγραν, καὶ Παγώνδας αὐτοὺς πείθει μάχην ποιεῖσθαι.

§. 3. *Ἡμέρᾳ ... τρίτῃ.* Similiter sine articulo c. 101. et VIII, 24. Apud *ἔτος* numeri ordinales articulum plerumque additum non habent, interdum habent. Cf. ad. I, 87, 6. et plura in ed. mai. — *ὡς* = *ἐξ οὗ.* Cf. adn. I, 6, 2. — *ὥρμησαν.* Cf. adn. II, 19, 1. et infra c. 94.

§. 4. *Οἱ πλεῖστοι.* Appositio partitiva. Cf. adn. III, 32, 1. et 94, 1. verba *ὅτι μὴ ὀλίγοι.* — *ἐχώρουν.* Ex superioribus repetendum videtur *ἐπ' οἴκου.* Cf. 94, 1. — *φυλακάς τε ... ἐπιτελέσαι.* Et custodias, et quicquid circa propugnacula (Aufsenwerke) reliquum esset, ut (i. e. quo modo) conficiendum esset, constituebat.

Cap. 91. *Οἵ εἰσιν ἕνδεκα.* *Οἵ* ad solum *βοιωταρχῶν*, non ad *τῶν ἄλλων βοιωταρχῶν*, videtur spectare. Cf. de numero Boeotarchorum Herm. Antiqu. Gr. §. 179. adnot. 10. Boeckh. Inscript. I. pag. 727. et 729. Clint. Fast. Hell. I. p. 407. — *ἐν μεθορίοις τῆς Ὠρωπίας.* Ager Oropius autem, de quo saepe inter Boeotos et Athenienses certatum est (cf. Muell. Orchom. p. 411. sq. Herm. Antiqu. Gr. §. 179, 5. et qui ibi citati sunt), tunc Atheniensium erat. Cf. II, 23, 2. et infra c. 99. - *Παγώνδας.* Apud Diodor. XII, 69. scribitur *Παντοιάδας* vel *Παντόδας.* Sed cf. infra c. 93. et 96. et Athen. V, 15. — *βοιωταρχῶν ἐκ Θηβῶν μετ' Ἀριανθίδου.* Thebae igitur binos Boeotarchos

χῶν ἐκ Θηβῶν μετ' Ἀριανθίδου τοῦ Λυσιμαχί-
δου, καὶ ἡγεμονίας οὔσης αὐτοῦ[,] βουλόμενος
τὴν μάχην ποιῆσαι καὶ νομίζων ἄμεινον εἶναι
κινδυνεῦσαι, προςκαλῶν ἑκάστους κατὰ λόχους,
ὅπως μὴ ἀθρόοι ἐκλίποιεν τὰ ὅπλα, ἔπειθε τοὺς
Βοιωτοὺς ἰέναι ἐπὶ τοὺς Ἀθηναίους καὶ τὸν ἀγῶνα
ποιεῖσθαι λέγων τοιάδε.

παρακέλευσις Παγώνδου.

92. „Χρῆν μέν, ὦ ἄνδρες Βοιωτοί, μηδ' ἐς 1
ἐπίνοιάν τινα ἡμῶν ἐλθεῖν τῶν ἀρχόντων, ὡς
οὐκ εἰκὸς Ἀθηναίοις, ἢν ἄρα μὴ ἐν τῇ Βοιωτίᾳ
ἔτι καταλάβωμεν αὐτούς, διὰ μάχης ἐλθεῖν· τὴν
γὰρ Βοιωτίαν ἐκ τῆς ὁμόρου ἐλθόντες τεῖχος ἐν-
οικοδομησάμενοι μέλλουσι φθείρειν, καὶ εἰσὶ δή-
που πολέμιοι, ἐν ᾧ τε ἂν χωρίῳ καταληφθῶσι,
καὶ ὅθεν ἐπελθόντες πολέμια ἔδρασαν. νυνὶ δ', εἴ 2
τῳ καὶ ἀσφαλέστερον ἔδοξεν εἶναι, μεταγνώτω.

dabant, id quod confirmatur etiam locis II, 2. et VII, 30. — *καὶ ἡγεμονίας οὔσης αὐτοῦ.* Quaeritur, particula *καί* utrum *βοιωταρχῶν καὶ ἡγεμονίας οὔσης αὐτοῦ* (cf. adn. I, 65, 1.) an *βοιωταρχῶν καὶ νομίζων* inter se iungantur. Hoc unusquisque praeferret, si *ἡγεμον. οὔσ. αὐτ.* valere quod *tunc* imperium penes ipsum erat constaret. Sed vel non addito *τότε* eadem verborum coniungendorum ratio videtur probari posse, si hoc enunciatum dum imperium penes ipsum esset interpretere. Non intelligitur autem ex his, praeter Pagondam solusne alter Thebanus Boeotarchus an, etiam reliqui ex aliis civitatibus orti aliis temporibus imperium habuerint. Diurnas fuisse vices forsitan ex c. 93. verbis *ἤδη γὰρ καὶ τῆς ἡμέρας ὀψὲ ἦν* collegeris certo tamen rem non demonstrantibus. Ceterum attende articulum ad *ἡγεμον.* nomen non additum. — *ποιῆσαι.* Cf. adn. II, 86, 6. — *ὅπως μὴ ... τὰ ὅπλα.* Confirmari his explicationem locutionis *τίθεσθαι τὰ ὅπλα* ad II, 2. propositam, quum nonnullos, ut arma a militibus ordine composita tuerentur, dum reliqui inermes [cf. adn. 74, 3.] ad imperatoris orationem audiendam irent, relinquendos fuisse videamus, bene disputat Arn.

Cap. **92.** *Διαιρεῖται ἡ δημηγορία αὕτη τῷ συμφέροντι καὶ τῷ δικαίῳ, ὑποφαίνει δὲ ὀλιγάκις καὶ τὸ δυνατόν. ἡ μὲν πρότασις ἐξ ἐπιπλήξεως τῶν μὴ συνεπαινούντων μάχεσθαι· ἡ δὲ κατασκευὴ ἐκ διαβολῆς τῶν Ἀθηναίων, ὅτι πανταχοῦ ἐχθροί· τὸ δὲ συμπέρασμα προτρεπτικὸν εἰς τὰ πρακτέα κατὰ διορισμόν, τίσι τῶν ἀνθρώπων ἔτι μᾶλλον προμηθητέον.* Schol.

§. 1. *Μηδ' ἐς ἐπίνοιαν ... ἐλθεῖν.* Cf. III, 46, 6. et ibi adnot. et de *χρῆν*, si placet, Rost. Gr. §. 120. adn. 2. — *διὰ μάχης ἐλθεῖν.* Cf. adn. II, 11, 3. — *ἐν ᾧ ... ἔδρασαν.* De modis mutatis vid. adn. II, 44, 1.

§. 2. *Νυνὶ δ'* etc. Haec contraria ponuntur superioribus *χρῆν μὲν ... ἐλθεῖν.* — *ἀσφαλέστερον ἔδοξεν.* Cogita τὸ

ὐ γὰρ τὸ προμηθές, οἷς ἂν ἄλλος ἐπίῃ, περὶ
τῆς σφετέρας ὁμοίως ἐνδέχεται λογισμὸν καὶ ὅς-
τις τὰ μὲν ἑαυτοῦ ἔχει, τοῦ πλείονος δὲ ὀρεγό-
3 μενος ἑκών τινι ἐπέρχεται. πάτριόν τε ὑμῖν στρα-
τὸν ἀλλόφυλον ἐπελθόντα καὶ ἐν τῇ οἰκείᾳ καὶ
ἐν τῇ τῶν πέλας ὁμοίως ἀμύνεσθαι. Ἀθηναίους
δὲ καὶ προςέτι ὁμόρους ὄντας πολλῷ μάλιστα δεῖ.
4 πρός τε γὰρ τοὺς ἀστυγείτονας πᾶσι τὸ ἀντίπα-
λον καὶ ἐλεύθερον καθίσταται, καὶ πρὸς τούτους
γε δή, οἳ καὶ μὴ τοὺς ἐγγύς, ἀλλὰ καὶ τοὺς
ἄπωθεν πειρῶνται δουλοῦσθαι, πῶς οὐ χρὴ καὶ
ἐπὶ τὸ ἔσχατον ἀγῶνος ἐλθεῖν; (παράδειγμα δὲ
ἔχομεν τούς τε ἀντιπέρας Εὐβοέας καὶ τῆς ἄλλης

Cap. **92** §. 4. *Ἄπωθεν.* Cl. T. It. Vat. Mosqu. m. Bekk. *ἄποθεν.* Cf. ad. III, 111, 1.

μὴ διὰ μάχης ἐλθεῖν. — *οὐ γὰρ τὸ προμηθὲς κ. τ. λ.*] *ἡ προμήθεια τοῦ μέλλοντος καὶ ἡ πρόνοια οὐχ ὁμοίου χρῄζει διαλογισμοῦ τῶν τε ὑπερμαχούντων τῆς ἰδίας γῆς, καὶ τῶν ἐχόντων μὲν τὴν ἰδίαν, ὀρεγομένων δὲ γῆς ἀλλοτρίας καὶ ἐπιόντων. ἐμφαίνει δέ, ὅτι χρὴ ἡμᾶς ὑπερμαχοῦντας τῇ ἡμῶν αὐτῶν τόλμῃ χρήσασθαι καὶ ἀπονοίᾳ μᾶλλον ἤπερ λογισμῷ.* Schol. Sententia illustratur simili loco I, 86, 4., dicendi genus *λογισμὸν ἐνδέχεσθαι* affuit IV, 10, 1. — *καὶ ὅςτις.* Rursus variata est oratio.

§. 3. *Πάτριον.* Cf. adn. I, 123, 1. et hic Bloomf. — *προςέτι ὁμόρους ὄντας.* Thucydides ipse statim illustrat. Cf. praeterea de vicinis dicta VI, 88, 1.

§. 4. *Πρός τε γὰρ ... καθίσταται. Τὸ ἀντίπαλον* est subiectum, *ἐλεύθερον* praedicatum. Proprie igitur verba valent *τὸ ἀντίπαλον εἶναι γίγνεται ἐλεύθερον, ἐστὶν ἐλεύθερον*, i. e. libertas nititur *τῷ εἶναι ἀντιπάλους.* Bene Haas.: adversus finitimos libertas omnibus in eo posita est, ut illis aemula virtute obsistant. *Τὸ ἀντίπαλον* enim ob superiora hic non aequalitatem virium, sed animum ad *τὸ ἀντιπαλαίειν* paratum debet designare. — *γὲ δή.* Cf. adn. 78, 2. — *οἳ καὶ μὴ τοὺς ἐγγύς, ἀλλὰ καί* cet. „Interpretes supplent *μόνον.* Et videtur id omnino desiderari, ut vel particulae *ἀλλὰ καί* indicant; nam infinitis locis invenias *οὐ μόνον, ἀλλὰ καί.*" DUK., qui apud Latinos quidem non infrequentem esse ellipsin adverbiorum solum et tantum, sequentibus particulis sed etiam, verum ex Graecis scriptoribus certa et huic similia exempla proferri se non meminisse addit. Etiam apud Latinos illam ellipsin negat Zumpt. ad Cic. Verr. IV, 61, 136. Cf. Kritz. ad Vell. II, 22, 2. Hic vel ideo statui non posse, quia addito *μόνον* non *μή*, sed *οὐ* scribi debuerit, docet Goell. Qui adeo, ne dicam propinquos, sed etiam remotos subigere conantur, recte interpretari vi-

Ἑλλάδος τὸ πολύ, ὡς αὐτοῖς διάκειται·) καὶ γνῶναι, ὅτι τοῖς μὲν ἄλλοις οἱ πλησιόχωροι περὶ γῆς ὅρων τὰς μάχας ποιοῦνται, ἡμῖν δὲ ἐς πᾶσαν, ἢν νικηθῶμεν, εἷς ὅρος οὐκ ἀντίλεκτος παγήσεται· ἐςελθόντες γὰρ βίᾳ τὰ ἡμέτερα ἕξουσι. τοσούτῳ ἐπικινδυνοτέραν ἑτέρων τὴν παροίκησιν τῶνδε ἔχομεν. εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας, ὥςπερ Ἀθηναῖοι νῦν, ἐπιόντες τὸν μὲν ἡσυχάζοντα καὶ ἐν τῇ ἑαυτοῦ μόνον ἀμυνό-

Ἐςελθόντες. Vulgo et Bekk. εἰςελθόντες. Cf. ad. 32, 1.

detur Haack., etsi solius μή pro duabus particulis μὴ ὅτι positi exempla nos desideramus. — ὡς αὐτοῖς διάκειται. „Id est: πρὸς αὐτοὺς τοὺς Ἀθηναίους ὡς κακῶς διάκειται. Vel ὡς ὑπ' αὐτῶν διάκειται, scil. ὡς αὐτοὶ τούτῳ τῷ τῆς Ἑλλάδος πολλῷ μέρει χρῶνται.“ AE. PORT. apud Huds. Prior enodatio usui quidem verbi διακεῖσθαι convenientior est, quod dativo addito quum plerumque erga al. animatum seu affectum esse sonet, verba interpretanda putes: quomodo (maxima reliquae Graeciae pars) erga eos (Athen.) sit affecta. At haec explicatio ideo, quia orator exempla vult afferre, quae doceant in servitutem redigi eos, qui non in extremam dimicationem adversus Athen. descendant, reiicienda est. Quare διάκειται videtur valere διατίθεται (cf. Buttm. Gr. max. §. 109. adn. 8.), et sententia haec esse: quo modo ab illis affecta, tractata sit (maxima Graeciae pars). Nisi forte aut Arnoldum mavis sequi, qui ad explanationem qua ratione erga eos (Athen.) se habeat, quae ratio inter eos et Athenienses intercedat, inclinat, aut Dobraeum, qui ὡς αὐτοῖς διάκειται putat esse ὡς αὐτοὶ διάκεινται, qua de re cf. adn. VIII, 68. Hoc si probaveris, arcte iungas inter se verba παράδειγμα ὡς αὐτοῖς διάκειται = παράδειγμα τῆς διαθέσεως τῶν ψυχῶν (τῆς διανοίας) αὐτῶν. Displicet tamen in hac enodatione verborum collocatio et obscuritas, et παράδειγμα malumus esse documentum, ein Beispiel zur Warnung, ut III, 39. et al. — καὶ γνῶναι. Repete ex superioribus πῶς οὐ χρή; vel solum χρή. — τοῖς ἄλλοις (adversus ceteros) . . . ποιοῦνται. Cf. I, 122, 2. — ἡμῖν δὲ . . . παγήσεται. Sententia haec est: termini nostrae terrae ab Atheniensibus victoribus haud dubie ita constituentur, ut tota illorum agro contineatur. Ἐς respondet nostro für.

§. 5. Τοσούτῳ . . . ἔχομεν] τοσοῦτον ἡ τούτων γειτνίασίς ἐστι φοβερώτερον ἤπερ τῶν ἄλλων, οἷς γειτνιῶμεν. Schol. Ἑτέρων enim est τῆς ἑτέρων (παροικήσεως). Cf. Matth. Gr. §. 453. — τὸν ἡσυχάζοντα . . . ἐπιστρατεύειν. Cf. adn. 60, 2. — τῇ ἑαυτοῦ. Cf. adn. I, 44, 1. — κατέχειν. Dubitatur, valeatne suppleto ex superioribus dativo πολέμῳ bello premere (cf. I, 103, 4.), an retinere, sustinere. Hoc simplicius videtur. Verba ἧσσον ἑτοίμως κατέχειν hinc deprompsisse Suidam

μενον ἀδεέστερον ἐπιστρατεύειν, τὸν δὲ ἔξω ὅρων
προαπαντῶντα καί, ἢν καιρὸς ᾖ, πολέμου ἄρχοντα
6 ἧσσον ἑτοίμως κατέχειν. πεῖραν δὲ ἔχομεν ἡμεῖς
αὐτοῦ ἐς τούςδε· νικήσαντες γὰρ ἐν Κορωνείᾳ
αὐτούς, ὅτε τὴν γῆν ἡμῶν στασιαζόντων κατέ-
σχον, πολλὴν ἄδειαν τῇ Βοιωτίᾳ μέχρι τοῦδε κα-
7 τεστήσαμεν. ὧν χρὴ μνησθέντας ἡμᾶς τούς τε
πρεσβυτέρους ὁμοιωθῆναι τοῖς πρὶν ἔργοις, τούς
τε νεωτέρους, πατέρων τῶν τότε ἀγαθῶν γενομένων παῖδας, πειρᾶσθαι μὴ αἰσχῦναι τὰς προςηκούσας ἀρετάς, πιστεύσαντας δὲ τῷ θεῷ πρὸς ἡμῶν ἔσεσθαι, οὗ τὸ ἱερὸν ἀνόμως τειχίσαντες νέμονται, καὶ τοῖς ἱεροῖς, ἃ ἡμῖν θυσαμένοις καλὰ φαίνεται, ὁμόσε χωρῆσαι τοῖςδε καὶ δεῖξαι, ὅτι, ὧν μὲν ἐφίενται, πρὸς τοὺς μὴ ἀμυνομένους ἐπιόντες κτάσθωσαν, οἷς δὲ γενναῖον τήν τε αὑτῶν ἀεὶ ἐλευθεροῦν μάχῃ καὶ τὴν ἄλλων μὴ δουλοῦσθαι ἀδίκως, ἀνανταγώνιστοι ἀπ' αὐτῶν οὐκ ἀπίασι.“
1 93. Τοιαῦτα ὁ Παγώνδας τοῖς Βοιωτοῖς παραινέσας ἔπεισεν ἰέναι ἐπὶ τοὺς Ἀθηναίους. καὶ

οἵ τε Βοιωτοὶ καὶ Ἱπποκράτης παρα-

§. 7. Αὑτῶν. Aug. Cl. Ven. Pal. Gr. al. αὐτῶν. Cf. adn. I, 17, 1.

non adnotarunt eius interpretes. Πολέμου = μάχης.

§. 6. Νικήσαντες . . . αὐτούς. Cf. I, 113, 2., unde Boeotos tunc ἐπιθέσθαι apparet. — ἡμῶν στασιαζόντων. De hac re I, 108, 3. nihil legitur.

§. 7. Ἡμᾶς τούς τε πρεσβυτέρους cet. Appositio distributiva. — τοῖς πρὶν ἔργοις. Per breviloquentiam quandam homines cum rebus sunt comparati, ut saepius res hominum cum hominibus. Cf. adn. I, 71, 2. et Hell. ad Soph. Oed. Col. v. 330. — πρὸς ἡμῶν ἔσεσθαι. Suppl. αὐτόν. Scripsit autem Thucydides ita per ἐπεξήγησιν, quia, si τὸν θεόν dixisset, non poterat ad πιστεύσαντες verbum apte referre dativum τοῖς ἱεροῖς. De πρός praepositione cf. adn. II, 86, 5. — ἀνόμως . . . νέμονται. Cf. infra c. 97. — πρός. Cf. adn. I, 86, 5. — κτάσθωσαν. Ὅτι orationi rectae praefixum esse censet Matth. Gr. §. 624. p. 1495. Cf. Paul. II. ad Thess. 3, 10: παρηγγέλλομεν ὑμῖν ὅτι, εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω, et ad Xen. Cyr. II, 3, 21. Obstat tamen aliquatenus, quod hic cogitata oratione recta aptiores sunt secundae personae. Quare hoc exemplum ad Matth. Gr. §. 511. 5. b. referri malumus. Cf. Bernh. Synt. p. 393. Modus autem est concessivus. — γενναῖον] ἤγουν πάτριον καὶ ἀπὸ γένους. Schol. Cf. Bloomf. — ἀπ' αὐτῶν. Cf. adn. I, 22, 1.

σκευάζονται ὡς ἐς μάχην. Βοιωτῶν διάκοσμος.

κατὰ τάχος ἀναστήσας ἦγε τὸν στρατόν· (ἤδη γὰρ καὶ τῆς ἡμέρας ὀψὲ ἦν·) καὶ ἐπειδὴ προςέμιξεν ἐγγὺς τοῦ στρατεύματος αὐτῶν, ἐς χωρίον καθίσας, ὅθεν λόφου ὄντος μεταξὺ οὐκ ἐθεώρουν ἀλλήλους, ἔτασσέ τε καὶ παρεσκευάζετο ὡς ἐς μάχην. τῷ δὲ Ἱπποκράτει ὄντι περὶ τὸ Δήλιον ὡς 2 αὐτῷ ἠγγέλθη, ὅτι Βοιωτοὶ ἐπέρχονται, πέμπει ἐς τὸ στράτευμα κελεύων ἐς τάξιν καθίστασθαι, καὶ αὐτὸς οὐ πολλῷ ὕστερον ἐπῆλθε καταλιπὼν ὡς τριακοσίους ἱππέας περὶ τὸ Δήλιον, ὅπως φύλακές τε ἅμα εἶεν, εἴ τις ἐπίοι αὐτῷ, καὶ τοῖς Βοιωτοῖς καιρὸν φυλάξαντες ἐπιγένοιντο ἐν τῇ μάχῃ. Βοιωτοὶ δὲ πρὸς τούτους ἀντικατέστησαν 3 τοὺς ἀμυνουμένους· καὶ ἐπειδὴ καλῶς αὐτοῖς εἶχεν, ὑπερεφάνησαν τοῦ λόφου καὶ ἔθεντο τὰ ὅπλα τεταγμένοι ὥςπερ ἔμελλον, ὁπλῖται ἑπτακιςχίλιοι μάλιστα καὶ ψιλοὶ ὑπὲρ μυρίους, ἱππῆς δὲ χίλιοι καὶ πελτασταὶ πεντακόσιοι. εἶχον δὲ δεξιὸν μὲν 4 κέρας Θηβαῖοι καὶ οἱ ξύμμοροι αὐτοῖς· μέσοι δὲ Ἁλιάρτιοι καὶ Κορωναῖοι καὶ Κωπαιῆς καὶ οἱ ἄλλοι οἱ περὶ τὴν λίμνην· τὸ δὲ εὐώνυμον εἶχον Θεσπιῆς καὶ Ταναγραῖοι καὶ Ὀρχομένιοι. ἐπὶ δὲ τῷ κέρᾳ ἑκατέρῳ οἱ ἱππῆς καὶ ψιλοὶ ἦσαν. ἐπ' ἀσπίδας δὲ πέντε μὲν καὶ εἴκοσι Θηβαῖοι ἐτάξαντο, οἱ δὲ ἄλλοι, ὡς ἕκαστοι ἔτυχον. αὕτη μὲν Βοιωτῶν παρασκευὴ καὶ διάκοσμος ἦν.

1 94. Ἀθηναῖοι δὲ οἱ μὲν ὁπλῖται ἐπὶ ὀκτὼ πᾶν τὸ στρατόπεδον ἐτάξαντο, ὄντες πλήθει ἰσοπαλεῖς τοῖς ἐναντίοις,

Ἀθηναίων τάξις. Ἱπποκράτης παρακελεύεται τοῖς Ἀθηναίοις.

Cap. **93**. §. 1. *Καὶ ἐπειδή.* Cass. Aug. Cl. Ven. Pal. (apud Morst.) It. Vat. H. D. I. Lugd. m. *καὶ ἐπεὶ δέ*. Laur. Ar. Chr. *ἐπεὶ δέ*, qua scriptura recepta Bekk. interpunctionem in superioribus mutavit.

§. 3. *Ἀμυνουμένους* ex Kruegeri et Dobraei, qui II, 85. et IV, 126. comparat, coniectura recepit Bekk. Vulgo *ἀμυνομένους*.

Cap. **93**. §. 1. *Προςέμιξεν ἐγγύς.* Sic iterum VIII, 71, 2. *Προςέμιξεν* est accessit. Cf. 118, 1. — *καθίσας*, subsistens.

§. 2. *Τῷ δὲ Ἱπποκράτει ... ὡς αὐτῷ ἠγγέλθη.* Redundat *αὐτῷ*, cuius rei origo proprie inde explicanda videtur, quod duplex loquendi genus, *τῷ Ἱπποκράτει ὡς ἠγγέλθη*, et *ὁ Ἱπποκράτης, ὡς αὐτῷ ἠγγέλθη*, coniunctum, sive ab illo ad hoc transitus factus est. Ceterum cf. Bernh. Synt. p. 290. et Matth. Gr. §. 472. De Hippocrate cf. c. 90. extr. — *ἐς τὸ στράτευμα.* Cf. adn. I, 137, 3. — *ἐπῆλθε*, advenit. — *ἐπιγένοιντο*, supervenirent.

§. 3. *Ὑπερεφάνησαν τοῦ λόφου*, in summo colle apparuerunt. Cf. Bloomf. et c. 96. init. — *τεταγμένοι ὥςπερ ἔμελλον.* Suppl *τάσσεσθαι.* Cf. Krueg. ad Dion. p. 118. et Arn., qui Boeotos ad aciem mutandam et temporibus accommodandam non esse coactos his verbis significari docet. Ceterum attende numeros dactylicos, de quibus cf. adn. I, 13, 6. Deinde de magnitudine exercitus Boeotorum cf. Diod. XII, 69. — *πελτασταί.* Hos primos videri esse peltastas, qui in civitate Graeciae propriae commemorentur, adnotat Vischer in Mus. Helv. I. p. 403. Cf. adn. II, 29, 5.

§. 4. *Δεξιὸν κέρας.* De articulo omisso cf. adn. I, 48, 4., de re Diod. XII, 70. — *οἱ ξύμμοροι αὐτοῖς.* Recentiores omnes interpretantur *τοὺς ξυντελοῦντας ἐς αὐτούς*, i. e. Boeotos Thebanis contributos (et subiectos); etenim similiter in civitate Attica *ξυμμορίαι* alibi *ξυντέλειαι* dicuntur. Ceterum vid. adn. 76, 3. et cf. insuper Boeckh. Oecon. civ. Athen. II. p. 370. Muell. Orchom. p. 403. Clint. Fast. Hell. pag. 408. ed. Krueg. „Tales erant e. c. Parasopii, Therapnenses, Peteonii. Vid. Strab. IX, 2, 24—26. [p. 408—410.]" ARN., qui paulo alios ad 76, 3. nominavit. — *μέσοι δέ* cet. Simul audi *ἦσαν*. Variata est enim oratio. Cf. I, 48, 4. et Tac. Hist. III, 22. — *λίμνην.* Copaidem. — *ἐπὶ δὲ τῷ κέρᾳ ... ἦσαν.* De re cf. V, 67. et Bloomf. — *ἐπ' ἀσπίδας πέντε καὶ εἴκοσι.* „*Πότερον τὸ βάθος ἢ τὸ πλάτος; τὸ βάθος ἔοικε· οἱ γὰρ Ἀθηναῖοι, φησὶ παρακατιών* [cap. 94. init.], *ἐς ὀκτὼ ἐτάξαντο ὄντες πλήθει ἰσοπαλεῖς τοῖς Βοιωτοῖς· εἰ γὰρ τὸ πλάτος ἐπὶ ὀκτὼ ἦσαν Ἀθηναῖοι, εἶεν ἂν οἱ αὐτοὶ τὸ βάθος μικροῦ δεῖν ἐς χιλίους· ὃ καὶ πάντῃ ἄτοπον.*" *ΔΟΥΚΑΣ.* De altitudine aciei agi etiam ex simili loco VII, 79. perspici adnotat Kistem. Acies autem Graecorum haud raro satis densa erat. Ita „in clarissima pugna Leuctrica Thebani quinquagenos *ἐς βάθος* instruxerunt. Xen. Hell. VI, 4, 12. Syracusanorum acies in prima pugna, quam cum Atheniensibus fecerunt, a fronte introrsus in senos denos ordines armatorum patebat Thuc. VI, 67., eademque usitata phalangis Macedonicae erat altitudo. Polyb. XVIII, 13. — Contra Athenienses et Lacedaemonii bello Peloponnesiaco plerumque aciem suam ita instruxerunt, ut *τὸ βάθος* eius octonos tantum milites contineret, Thuc. IV, 94. V, 68. VI, 67., quanquam postea Lacedaemonii contra Thebanos apud Leuctra et alibi aciem suam densioribus ordinibus instruxerunt. Xen. Hell. VI, 4, 12." ARN. *Ἀσπίδος* vocabulo, ut alibi, significantur *οἱ ἀσπιδηφόροι, ὁπλῖται.*

§. 5. *Διάκοσμος.* Poeticum male a nonnullis appellatur; eodem enim eadem vi usi sunt Aristot. Theophr. Plut. Cf. Steph. Thes. nov.

Cap. **94**. §. 1. *Ἀθηναῖοι δὲ οἱ μὲν ὁπλῖται.* „De schemate Homerico, quod hic observat Schol., vid. ad c. 71." DUK. — *ἐπὶ ὀκτώ.* Cf. adn. 93, 4. — *πᾶν τὸ στρατόπεδον.* *Ὁπλιτῶν στρατόπεδον* debet esse. — *ἰσοπαλεῖς.* Etsi *πανδημεί* profecti erant c. 90., quod cur, quamvis secundum 93, 3. circiter septem millia fuisse existimandi sint, cum II, 13. conciliari posse videatur, docet Vischer Mus. Helvet. I. p. 403. ex pestilentiae

ἱππῆς δὲ ἐφ' ἑκατέρῳ τῷ κέρᾳ. ψιλοὶ δὲ ἐκ πα-
ρασκευῆς μὲν ὡπλισμένοι οὔτε τότε παρῆσαν,
οὔτε ἐγένοντο τῇ πόλει· οἵπερ δὲ ξυνεςέβαλον
ὄντες πολλαπλάσιοι τῶν ἐναντίων, ἄοπλοί τε πολ-
λοὶ ἠκολούθησαν, ἅτε πανστρατιᾶς ξένων τῶν
παρόντων καὶ ἀστῶν γενομένης, καὶ ὡς τὸ πρῶ-
τον ὥρμησαν ἐπ' οἴκου, οὐ παρεγένοντο ὅ τι μὴ
ὀλίγοι. καθεστώτων δὲ ἐς τὴν τάξιν καὶ ἤδη μελ- 2
λόντων ξυνιέναι, Ἱπποκράτης ὁ στρατηγὸς ἐπιπα-
ριὼν τὸ στρατόπεδον τῶν Ἀθηναίων παρεκελεύε-
τό τε καὶ ἔλεγε τοιάδε.

παρακέλευσις Ἱπποκράτους.

95. „Ὦ Ἀθηναῖοι, δι' ὀλίγου μὲν ἡ παραίνε- 1
σις γίγνεται, τὸ ἴσον δὲ πρός τε τοὺς ἀγαθοὺς
ἄνδρας δύναται καὶ ὑπόμνησιν μᾶλλον ἔχει ἢ

cladibus et militum absentia explicans. Male certe Portus totum enunciatum ὄντες ... ἐναντίοις ad universos Athenienses retulit, quod de solis gravis armaturae militibus intelligendum esse et ex collocatione et ex iis, quae paulo post leguntur, liquet. — ἐκ παρασκευῆς ὡπλισμένοι, data opera (eo consilio, ut essent ψιλοί) instructi. Cf. V, 56. Paulo aliter ἀπὸ παρασκευῆς I, 133., ubi cf. adn. — οὔτε ἐγένοντο τῇ πόλει. „Ad ea, quae hic leguntur, illustranda animadvertendum est in enumeratione copiarum Atticarum a Pericle initio belli II, 13. facta nullos [praeter mille et sexcentos sagittarios §. 8., quos interdum a levi armatura distingui vidimus in adn. 36, 1.] nominatos esse ψιλούς; in prima expeditione Sicula centum quidem ψιλῶν ... mentionem fieri, sed eos Megarenses exsules fuisse VI, 43. et in altera expeditione ἀκοντιστάς sive ψιλούς ... Acarnanes aut alios peregrinos fuisse VII, 70.“ ARN. — οἵπερ. Supplendum solum ψιλοί, non ψιλοὶ ἐκ παρασκευῆς ὡπλισμένοι. — πολλαπλάσιοι τῶν ἐναντίων. Cf. Rost. Gr. §. 109. adnot. 7. — πολλοί. Οἱ πολλοί coniecit Krueg. — πανστρατιᾶς. Plerumque hoc nomen in solo dativo adverbialiter legitur. Substantivum πανστρατιά tamen etiam Leo Diac. habet IX, 10. — ξένων ... καὶ ἀστῶν. Supra c. 90. ineunt. praeter hos seorsum nominavit τοὺς μετοίκους. — ὡς ... ἐπ' οἴκου. Cf. 90, 4. — οὐ παρεγένοντο, non affuerunt (in proelio). Cf. ed. mai. — ὅτι μή. Cf. adn. 26, 2.

§. 2. Ἐπιπαριὼν τὸ στρατόπεδον. „Ἄλλοις μετ' ἄλλους [τοῦ στρατοπέδου] παριὼν μέχρι τῶν ἐσχάτων.“ ΔΟΥΚΑΣ. Cf. VI, 67. extr. et VII, 76. Ergo iuxta aciem procedens, secundum ordines exercitus procedens.

Cap. 95. §. 1. Δι' ὀλίγου ... γίγνεται, fit brevi, paucis. Ἡ παραίνεσις = ἥδε ἡ παρ. — τὸ ἴσον ... δύναται, idem valet (suppl. δι' ὀλίγου γιγνομένη παραίνεσις καὶ μακρά). Cf. II, 29, 2. — πρός τε. Τέ si recte scriptum est, quanquam pro eo placet Reiskianum γέ, explicandum est ut in adn. I, 16., et de causa traiectionis cf. sd. 77, 2. — ἢ ἐπικέλευσιν. Si, quod necessarium videtur, subiectum verbi ἔχει, continet, est παραίνεσις, distinguuntur hic παραίνεσις et ἐπικέλευσις, et illam orationem hortativam, hanc ipsam adhortationem oportet esse; nam imperium non est ἐπικέλευσις.

2 ἐπικέλευσιν. παραστῇ δὲ μηδενὶ ὑμῶν, ὡς ἐν τῇ
ἀλλοτρίᾳ οὐ προςῆκον τοσόνδε κίνδυνον ἀναῤῥι-
πτοῦμεν. ἐν γὰρ τῇ τούτων ὑπὲρ τῆς ἡμετέρας ὁ
ἀγὼν ἔσται· καὶ ἢν νικήσωμεν, οὐ μή ποτε ὑμῖν
Πελοποννήσιοι ἐς τὴν χώραν ἄνευ τῆς τῶνδε ἵπ-
που ἐςβάλωσιν, ἐν δὲ μιᾷ μάχῃ τήνδε τε προς-
3 κτᾶσθε καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε. χωρήσατε
οὖν ἀξίως ἐς αὐτοὺς τῆς τε πόλεως, ἣν ἕκαστος
πατρίδα ἔχων πρώτην ἐν τοῖς Ἕλλησιν ἀγάλλεται,
καὶ τῶν πατέρων, οἳ τούςδε μάχῃ κρατοῦντες
μετὰ Μυρωνίδου ἐν Οἰνοφύτοις τὴν Βοιωτίαν
ποτὲ ἔσχον.“

1 96. Τοιαῦτα τοῦ Ἱπποκράτους παρακελευομέ-
νου καὶ μέχρι μὲν μέσου τοῦ στρατοπέδου ἐπελ-
θόντος, τὸ δὲ πλέον οὐκέτι φθάσαντος, οἱ Βοιω-
τοί, παρακελευσαμένου καὶ σφίσιν ὡς διὰ ταχέων
καὶ ἐνταῦθα Παγώνδου, παιωνίσαντες ἐπῄεσαν
ἀπὸ τοῦ λόφου. ἀντεπῄεσαν δὲ καὶ οἱ Ἀθηναῖοι
2 καὶ προςέμιξαν δρόμῳ. καὶ ἑκατέρων τῶν στρα-
τοπέδων τὰ ἔσχατα οὐκ ἦλθεν ἐς χεῖρας, ἀλλὰ

τὰ στρατόπεδα ἐς χεῖρας εἶσι, καὶ πρῶτον μὲν τὸ εὐώνυμον τῶν Βοιωτῶν ἡσσᾶται ὑπὸ τῶν Ἀθηναίων, τὸ δὲ δεξιὸν κρατεῖ, ἔπειτα δὲ φυ-

§.2. Παραστῇ μηδενὶ ... ὡς. Cf. adn. 61, 2. et de collocatione verborum adn. III, 13, 5. — οὐ προςῆκον ut III, 40, 4. — κίνδυνον ἀναῤῥιπτοῦμεν. Cf. adn. 85, 4. — ἐν τῇ τούτων. Ergo hic Hippocrates eum locum Boeotorum fatetur esse, quem Boeotarchae ipsi c. 91. suum esse negaverunt. Et hi quidem consilio convenienter, Hippocrates non item. Ceterum cf. c. 91. et ibi adnot. — προςκτᾶσθε ... ἐλευθεροῦτε. Cf. Kuehn. Gr. in us. schol. §. 255. adn. 4.

§. 3. Ἔχων πρώτην ... ἀγάλλεται. Quum non πρώτη legatur, ἀγάλλεσθαι, ut quum alia verba affectuum (cf. Matth. Gr. §. 555.) tum in nonnullis libris αὐχεῖν Eur. Alc. v. 676., cum participio coniunctum videtur. — ἐν Οἰνοφύτοις. Cf. I, 108.

Cap. 96. §. 1. Φθάσαντος. Suppl. ἐπελθόντος vel ἐπελθεῖν. — σφίσι. Cf. adn. I, 20, 1. — ὡς διὰ ταχέων. Cf. Matth. Gr. §. 628. p. 1509. — καὶ ἐνταῦθα, tunc quoque (ut iam ante). — τοῦ λόφου. Cf. c. 93.

§. 2. Καὶ ἑκατέρων cet. In pugnae, quae iam sequitur, descriptione aliquantum a Thucydide singulis in rebus dissentit Diod. l. d. Propter Socratis militiam aliquoties ad hoc proelium respexerunt Plato et alii. Cf. ed. mai. ad §. 5. —

γῆ γίγνεται παντὸς τοῦ στρατεύματος τῶν Ἀθηναίων.

τὸ αὐτὸ ἔπαθε· ῥύακες γὰρ ἐκώλυσαν. τὸ δὲ ἄλλο
καρτερᾷ μάχῃ καὶ ὠθισμῷ ἀσπίδων ξυνειστήκει.
καὶ τὸ μὲν εὐώνυμον τῶν Βοιωτῶν καὶ μέχρι 3
μέσου ἡσσᾶτο ὑπὸ τῶν Ἀθηναίων, καὶ ἐπίεσαν
τούς τε ἄλλους ταύτῃ καὶ οὐχ ἥκιστα τοὺς Θε-
σπιέας. ὑποχωρησάντων γὰρ αὐτοῖς τῶν παρατε-
ταγμένων καὶ κυκλωθέντων ἐν ὀλίγῳ, οἵπερ δι-
εφθάρησαν Θεσπιέων, ἐν χερσὶν ἀμυνόμενοι κα-
τεκόπησαν. καί τινες καὶ τῶν Ἀθηναίων διὰ τὴν
κύκλωσιν ταραχθέντες ἠγνόησάν τε καὶ ἀπέκτει-
ναν ἀλλήλους. τὸ μὲν οὖν ταύτῃ ἡσσᾶτο τῶν 4
Βοιωτῶν καὶ πρὸς τὸ μαχόμενον κατέφυγε· τὸ
δὲ δεξιόν, ᾗ οἱ Θηβαῖοι ἦσαν, ἐκράτει τῶν Ἀθη-
ναίων, καὶ ὠσάμενοι κατὰ βραχὺ τὸ πρῶτον
ἐπηκολούθουν. καὶ ξυνέβη Παγώνδου περιπέμψαν- 5
τος δύο τέλη τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ
τὸν λόφον, ὡς ἐπόνει τὸ εὐώνυμον αὐτῶν, καὶ
ὑπερφανέντων αἰφνιδίως, τὸ νικῶν τῶν Ἀθηναίων
κέρας, νομίσαν ἄλλο στράτευμα ἐπιέναι, ἐς φό-

ῥύακες] ῥεύματα ὑδρηγά. Schol. „Fortassis fossae stagnantem Asopum derivantes.“ MUELL. Orchom. p. 491. Cf. id. in Ersch. et Grub. Encycl. v. Boeot. — τὸ ἄλλο ... ξυνειστήκει, cetera vero acies consistebat acriter pugnans et clipeis (clipeorum umbonibus) se (mutuo) propellens. Τὸ ἄλλο similiter alibi. Cf. adn. II, 45, 1. De ὠθισμῷ ἀσπίδων, umbonum impulsu, cf. Duk. et Bloomf.

§. 3. Μέχρι μέσου, usque ad mediam aciem, non ad mediam cornus sinistri partem. Cf. Kistem. et de articulo omisso adn. II, 81, 3. — ὑποχωρησάντων αὐτοῖς τῶν παρατεταγμένων, quum ii, qui prope hos fuerant instructi, recessissent. Αὐτοῖς, i. e. Thespiensibus, est proprie notus ille dativus incommodi vel ethicus, de quo cf. adn. III, 98, 1. — καὶ κυκλωθέντων ἐν ὀλίγῳ, et quum (Thespienses) in angusto (ab hostibus) circumventi essent. Mutatum est subiectum. — οἵπερ ... κατεκόπησαν. „Τῶν δὲ κυκλωθέντων τούτων ὅσοι διεφθάρησαν, γενναίως ἀμυνόμενοι διεφθάρησαν.“ ΔΟΥΚΑΣ.

§. 4. Τὸ μαχόμενον] μέρος τῶν Βοιωτῶν τὸ ἔτι μάχην ὑπομένον. Schol. Cf. adn. II, 45, 1. — κατὰ βραχύ, paulatim, pedetentim. Cf. VII, 79. et Steph. Thes. nov. II. p. 403. Dubitatur autem, haec formula et τὸ πρῶτον cum utro verbo cohaereant. Cf. ed. mai. et §. 6.

§. 5. Καὶ ξυνέβη cet. Huc respicit Athen. V, 55. — τέλη. Cf. II, 22, 2. — ἐκ τοῦ ἀφανοῦς. Cf. adn. I, 51, 2. — ὑπερφανέντων] τῶν ἱππέων τῶν Βοιωτῶν δηλονότι. Schol.

6 βον καταστῆναι. καὶ ἀμφοτέρωθεν ἤδη, ὑπό τε
τοῦ τοιούτου καὶ ὑπὸ τῶν Θηβαίων ἐφεπομένων
καὶ παραῤῥηγνύντων, φυγὴ καθειστήκει. παντὸς
7 τοῦ στρατοῦ τῶν Ἀθηναίων. καὶ οἱ μὲν πρὸς τὸ
Δήλιόν τε καὶ τὴν θάλασσαν ὥρμησαν, οἱ δὲ
ἐπὶ τοῦ Ὠρωποῦ, ἄλλοι δὲ πρὸς Πάρνηθα τὸ ὄρος,
οἱ δέ, ὡς ἕκαστοί τινα εἶχον ἐλπίδα σωτηρίας.
8 Βοιωτοὶ δὲ ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ
ἱππῆς, οἵ τε αὐτῶν καὶ οἱ Λοκροί, βεβοηθηκότες,
ἄρτι τῆς τροπῆς γιγνομένης· νυκτὸς δὲ ἐπιλα-
βούσης τὸ ἔργον, ῥᾷον τὸ πλῆθος τῶν φευγόν-
9 των διεσώθη. καὶ τῇ ὑστεραίᾳ οἵ τε ἐκ τοῦ Ὠρω-
ποῦ καὶ οἱ ἐκ τοῦ Δηλίου φυλακὴν ἐγκαταλιπόν-
τες (εἶχον γὰρ αὐτὸ ὅμως ἔτι,) ἀπεκομίσθησαν
1 κατὰ θάλασσαν ἐπ' οἴκου. 97. καὶ οἱ Βοιωτοὶ τρο-
παῖον στήσαντες καὶ τοὺς ἑαυτῶν ἀνελόμενοι νε-
κροὺς τούς τε τῶν πολεμίων σκυλεύσαντες καὶ φυ-
λακὴν καταλιπόντες ἀνεχώρησαν ἐς τὴν Τάναγραν,
2 καὶ τῷ Δηλίῳ ἐπεβούλευον ὡς προσβαλοῦντες. ἐκ δὲ
τῶν Ἀθηναίων κῆρυξ πορευόμενος ἐπὶ τοὺς νεκροὺς
ἀπαντᾷ κήρυκι Βοιωτῷ, ὃς αὐτὸν ἀποστρέψας

τῶν δὲ νικησάντων τῷ Δηλίῳ μελλόντων προσβαλεῖν κηρύγματα γίγνεται ἑκατέρων. καὶ οἱ Βοιωτοὶ προαγορεύ-

Cap. 97. §. 2. Κήρυξ. Pal. et Bekk. κῆρυξ, hic etiam c. 99. Cf. sd. I, 29, 4.

§. 6. Παραῤῥηγνύντων. Valet paulatim disiicere, ordines dissolvere, et est consequens τῷ ὤσασθαι §. 5. Cf. VI, 70. et adn. V, 73.

§. 7. Καὶ οἱ μέν cet. Simillime Diod. c. 70. — Πάρνηθα. Cf. adn. II, 23, 1.

§. 8. Νυκτὸς ἐπιλαβούσης τὸ ἔργον, „quum certamen nox oppressisset, [intercepisset,] certamini supervenisset.“ BAU. Cf. Diod. l. d.

§. 9. Εἶχον ... ὅμως ἔτι. „Id est: καίπερ νικηθέντες, ὅμως ἔτι κατεῖχον αὐτὸ τὸ Δήλιον.“ AE. PORT. Cf. adn. III, 28, 2.

Cap. 97. §. 1. Τούς τε ... σκυλεύσαντες. His spoliis forum Thebarum exornatum est. Cf. Diod. — φυλακὴν καταλιπόντες. Ad custodienda cadavera et spolia. — καὶ τῷ ... προςβαλοῦντες. Port.: et consilia de oppugnando Delio inibant. At Valla: insidiantes Delio tanquam aggressuri. Illi explicationi participium minus convenit (cf. adn. III, 20, 1.), in hac languet additamentum ὡς προςβαλοῦντες. Cf. ἐπιβουλ. c. 103. 116. al.

§. 2. Ἐκ δὲ τῶν Ἀθηναίων. Et ex ipsa quidem Attica, non a praesidio Delium tenente. Cf. c. 101. — ἀποστρέψας.

ουσι τοὺς Ἀθηναίους ἐκ τοῦ ἱεροῦ ἀπιόντας ἀποφέρεσθαι τοὺς νεκρούς.

καὶ εἰπών, ὅτι οὐδὲν πράξει, πρὶν ἂν αὐτὸς ἀνα-
χωρήσῃ πάλιν, καταστὰς ἐπὶ Ἀθηναίους ἔλεγε τὰ
παρὰ τῶν Βοιωτῶν, ὅτι οὐ δικαίως δράσειαν
παραβαίνοντες τὰ νόμιμα τῶν Ἑλλήνων· πᾶσι 3
γὰρ εἶναι καθεστηκὸς ἰόντας ἐπὶ τὴν ἀλλήλων
ἱερῶν τῶν ἐνόντων ἀπέχεσθαι· Ἀθηναίους δὲ
Δήλιον τειχίσαντας ἐνοικεῖν, καὶ ὅσα ἄνθρωποι
ἐν βεβήλῳ δρῶσι, πάντα γίγνεσθαι αὐτόθι, ὕδωρ
τε, ὃ ἦν ἄψαυστον σφίσι πλὴν πρὸς τὰ ἱερὰ χέρ-
νιβι χρῆσθαι, ἀνασπάσαντας ὑδρεύεσθαι. ὥςτε 4
ὑπέρ τε τοῦ θεοῦ καὶ ἑαυτῶν Βοιωτοὺς ἐπικαλου-
μένους τοὺς ὁμωχέτας δαίμονας καὶ τὸν Ἀπόλλω
προαγορεύειν αὐτοὺς ἐκ τοῦ ἱεροῦ ἀπιόντας ἀπο-

ἀπόκρισις τῶν Ἀθηναίων.

φέρεσθαι τὰ σφέτερα αὐτῶν. **98.** τοσαῦτα τοῦ 1
κήρυκος εἰπόντος, οἱ Ἀθηναῖοι πέμψαντες παρὰ
τοὺς Βοιωτοὺς ἑαυτῶν κήρυκα τοῦ μὲν ἱεροῦ οὔτε
ἀδικῆσαι ἔφασαν οὐδέν, οὔτε τοῦ λοιποῦ ἑκόντες
βλάψειν· οὐδὲ γὰρ τὴν ἀρχὴν ἐςελθεῖν ἐπὶ τούτῳ,

Cf. adn. V, 75, 2. — *καὶ εἰπών.* De *καί* cf. adn. I, 1, 1. ad vv. *καὶ ἐλπίσας.* — *καταστάς.* Cf. adn. 84, 2.

§. 3. *Πᾶσι γὰρ εἶναι.* De transitu ad infinitivum cf. adn. I, 87, 4. — *ὅσα ... δρῶσι, πάντα.* „*Οἷά εἰσι καὶ τὰ ἐκρίματα τῆς κοιλίας, ὅσα κάτω χωρεῖ.*“ ΔΟΥΚΑΣ. Cf. VII, 87, 2. *πάντα ποιούντων.* — *ὃ ἦν ... χρῆσθαι.* Haec sic necte: *ὃ ἦν ἄψαυστον σφίσι πλὴν πρὸς τὰ ἱερά, (ὥςτε) χρῆσθαι (αὐτῷ) χέρνιβι.* — *χέρνιβι.* „De voce *χέρνιψ* ita Athen. l. IX. c. 18: *ἔστι δὲ ὕδωρ, εἰς ὃ ἀπέβαπτον δαλὸν ἐκ τοῦ βωμοῦ λαμβάνοντες, ἐφ' οὗ τὴν θυσίαν ἐπετέλουν, καὶ τούτῳ περιῤῥαίνοντες τοὺς παρόντας ἥγνιζον.*“ HUDS. Cf. plura apud Duk. et interpr. Soph. Oed. R. v. 235. — *ἀνασπάσαντας*] *ἀνιμησαμένους. ἤγουν ἐξ αὐτοῦ τοῦ ὕδατος ἀνιμωμένους πρὸς τὰς κοινὰς χρείας χρῆσθαι.* Schol.

§. 4. *Τοὺς ὁμωχέτας*] *ὁμωχέται οἱ συμμετέχοντες τῶν αὐτῶν ναῶν καὶ τῶν αὐτῶν ἱερῶν.* Schol. *Τοὺς συνναόυς θεοὺς καὶ ὁμωροφίους* interpretantur Suid. et Phot., et ille *Βοιωτικὴν λέξιν* appellat. Cf. adn. III, 59, 2. et Ahrens. de Dial. Aeol. p. 192. — *αὐτούς.* Cf. Kuehn. Gr. in us. schol. §. 307. adn. 3. — *τὰ σφέτερα αὐτῶν.* Cadavera maxime significari e c. 98. 99. liquet.

Cap. **98.** §. 1. *Τοσαῦτα.* De asyndeto cf. adn. II, 75, 1. III, 13, 1. — *οὔτε ἀδικῆσαι ... βλάψειν.* Discrimen non tam in verbis *ἀδικεῖν* et *βλάπτειν*, id quod Arn. existimat, quam in temporibus inesse nobis videtur. Cf. ed. mai. De verbis *τοῦ λοιποῦ* vid. Rost. Gr. §. 108. 2. i. — *τὴν ἀρχήν.* Cf. Rost. Gr. §. 104. 10. (ubi articuli usus non est commemoratus) et VI, 56. — *ἀλλὰ ... μᾶλλον*, sed potius.

ἀλλ' ἵνα ἐξ αὐτοῦ τοὺς ἀδικοῦντας μᾶλλον σφᾶς
2 ἀμύνωνται. τὸν δὲ νόμον τοῖς Ἕλλησιν εἶναι, ὧν
ἂν ᾖ τὸ κράτος τῆς γῆς ἑκάστης, ἤν τε πλέονος,
ἤν τε βραχυτέρας, τούτων καὶ τὰ ἱερὰ ἀεὶ γίγνε-
σθαι, τρόποις θεραπευόμενα οἷς ἂν πρὸς τοῖς
3 εἰωθόσι καὶ δύνωνται. καὶ γὰρ Βοιωτοὺς καὶ τοὺς
πολλοὺς τῶν ἄλλων, ὅσοι ἐξαναστήσαντές τινα
βίᾳ νέμονται γῆν, ἀλλοτρίοις ἱεροῖς τὸ πρῶτον
4 ἐπελθόντας οἰκεῖα νῦν κεκτῆσθαι. καὶ αὐτοὶ εἰ
μὲν ἐπὶ πλέον δυνηθῆναι τῆς ἐκείνων κρατῆσαι,
τοῦτ' ἂν ἔχειν· νῦν δέ, ἐν ᾧ μέρει εἰσίν, ἑκόν-
5 τες εἶναι ὡς ἐκ σφετέρου οὐκ ἀπιέναι. ὕδωρ τε
ἐν τῇ ἀνάγκῃ κινῆσαι, ἣν οὐκ αὐτοὶ ὕβρει προς-
θέσθαι, ἀλλ' ἐκείνους, προτέρους ἐπὶ τὴν σφετέ-
ραν ἐλθόντας, ἀμυνόμενοι βιάζεσθαι χρῆσθαι.
6 πᾶν δ' εἰκὸς εἶναι τῷ πολέμῳ καὶ δεινῷ τινι κα-

Cap. **98.** §. 6. *Τῷ πολέμῳ.* Aug. e corr. et Cl. *τὸ πολέμῳ.*

§. 2. *Βραχυτέρας.* Cf. adn. I, 14, 3. — *τρόποις ... δύνωνται.* Ad extrema subaudi *θεραπεύεσθαι.* Sententiam verborum Arnoldus hanc esse docet, templa ab eo, qui invaserit, non solum si omnes usitati ritus, verum etiam si ii, qui perfici possint, observentur, legitime possideri. Itaque bene Hier. Muell.: auf eine Weise behandelt [potius geehrt], wie es neben dem Herkömmlichen die Möglichkeit gestatte.

§. 3. *Βοιωτούς.* De horum occupatione agri Cadmeorum aliorumque cf. I, 12. — *οἰκεῖα νῦν κεκτῆσθαι*, nunc ea pro suis (als ihr Eigenthum) possidere.

§. 4. *Εἰ μὲν ... ἂν ἔχειν*, si ampliorem illorum agri partem in suam potestatem redigere possent, eam (ampliorem partem) retenturos (se dicebant), Port. De *ἐπὶ πλέον* verbis dictis, ut *ἐπὶ πολύ, ἐπὶ πλεῖστον, ἐπὶ μέγα*, vid. adn. I, 1, 2., de infinitivo *δυνηθῆναι* Matth. §. 537. Rost. §. 121. adn. 12. — *ἑκόντες εἶναι.* Cf. adn. II, 89, 8. — *ὡς ἐκ σφετέρου.* Plene *ἐκ τούτου ὡς ἐκ σφετέρου*, ex hac (parte agri) utpote ex sua, sive quum eam suam esse existimarent.

§. 5. *Κινῆσαι.* Propr. loco suo movere, i. e. omnino uti. Cf. *χρήματα κινεῖν*, de quo loquendi genere vid. adn. I, 143, 1. — *ὕβρει προςθέσθαι*, per insolentiam sibi imposuisse. Ita *προςτιθέναι τινὶ ἀνάγκην*, necessitatem alicui imponere, dixit Eur. Herc. v. 710. De medio cf. adn. I, 78, 1. 144, 1. — *ἀλλ' ἐκείνους ... χρῆσθαι.* „Ordo est: *ἀλλὰ βιάζεσθαι* [quod passive usurpatum est] *χρῆσθαι* (suppl. *τῷ ὕδατι* vel *τῇ ἀνάγκῃ*, quod sit sequi necessitatem, ei parere, ut tempore uti, *νόμῳ χρῆσθαι*) *ἀμυνόμενοι ἐκείνους* (Boeotos) *ἐπελθόντας προτέρους ἐπὶ τὴν σφετέραν.*“ BAU.

§. 6. *Πᾶν δ' εἰκὸς ... τοῦ*

τειργόμενον ξύγγνωμόν τι γίγνεσθαι καὶ πρὸς τοῦ θεοῦ. καὶ γὰρ τῶν ἀκουσίων ἁμαρτημάτων καταφυγὴν εἶναι τοὺς βωμούς, παρανομίαν τε ἐπὶ τοῖς μὴ ἀνάγκῃ κακοῖς ὀνομασθῆναι, καὶ οὐκ ἐπὶ τοῖς ἀπὸ τῶν ξυμφορῶν τι τολμήσασι. τούς τε νεκροὺς πολὺ μειζόνως ἐκείνους ἀντὶ ἱε- 7
ρῶν ἀξιοῦντας ἀποδιδόναι ἀσεβεῖν ἢ τοὺς μὴ ἐθέλοντας ἱεροῖς τὰ μὴ πρέποντα κομίζεσθαι.

Et articulus ante *πολέμῳ* nomen in sententia generali sane minus aptus est (cf. Rost. Gr. §. 98. 3. B.), aptissimus post *πᾶν*. Recepissemus igitur, nisi altera difficultas, de qua cf. adn., in verbis superesset, ob quam quis *παντὶ τῷ ... κατειργομένῳ* aliaque coniiciat. In D. *κατειργασμένον* legitur.

§. 7. *Τὰ μὴ πρέποντα* Cass. Schol. Bekk. In Taurin. *τὰ μὴ προσήκοντα.* Vulgo et in plerisque libris *τὰ πρέποντα*, in Cl. tamen *τά* ex rasura, ubi olim plures literae exstabant.

θεοῦ. Haec videntur valere consentaneum autem esse, ut, quicquid bello et periculo aliquo expressum (sive calamitatis necessitate) fieret, venia aliqua dignum esset etiam dei existimatione. *Ξύγγνωμον* sonare posse venia dignum vidimus II, 40, 1., ubi cf. adn. De *πρός* praepositione cf. adn. I, 71, 5., de *τῷ* articulo script. discr. Aliqua dubitatio restat in *κατειργόμενον* participio. Quod si coactum, necessitate expressum, significare potest, omnia recta sunt. At *κατείργειν* alibi est coercere, in angustias redigere, premere, ut *τῷ πολέμῳ* VI, 6. (cf. adn. supra 47, 3.); quae notio *πᾶν* de hominibus intelligi iubet, quibus tamen verba *ξύγγνωμόν τι* minus conveniunt. — *τῶν ἀκουσίων ... τοὺς βωμούς.* Ut facta caede fortuita. Cf. Arn. et Schoem. Antiqu. iur. p. 376. — *παρανομίαν τε ... ὀνομασθῆναι*, et scelus nomen cepisse ex iis, qui nulla necessitate cogente flagitiosi essent. *Κακοῖς* masculinum esse ex respondente ei voce *τολμήσασι* apparet. *Ὀνομάζεσθαι ἐπί τινι* sonant nach einem benannt werden, nomen ex aliquo invenisse, traxisse. Cf. Matth. Gr. §. 420. adn. 2. b. — *ἀπὸ τῶν ξυμφορῶν.* Port.: rebus adversis coacti. Cf. Mor. ad Isocr. Paneg. c. 22.

§. 7. *Τούς τε νεκροὺς ... ἀσεβεῖν.* „Ordo est: *ἐκείνους* (Boeotos) *ἀσεβεῖν πολὺ μειζόνως ἀξιοῦντας ἀποδιδόναι* (volentes reddere) *τοὺς νεκροὺς ἀντὶ ἱερῶν. Τοὺς νεκρούς* autem praemisit, quod de his praecipue sermo esset futurus; quasi quod interfectos attineat.“ BAU. — *ἢ τοὺς ... κομίζεσθαι*, quam eos, qui nollent templis (restituendis, vel templorum pretio, *ἱεροῖς* enim ablativus est,) recuperare ea, quae non deceret (templorum pretio recuperari). „Boeoti volebant reddere corpora *ἀντὶ ἱερῶν*, [i. e. hac conditione,] ut Athenienses ipsis, Boeotis, cederent templo, ac pro eo ipsis restituto auferrent corpora civium. Hanc ergo Athenienses accusant *ἀσέβειαν*, contaminationem sacrorum cadaveribus comparatorum, quorum alterum cum altero, res sacrae et divinae cum re impura et incesta, permutaretur.“ BAU.

8 *σαφῶς τε ἐκέλευον σφίσιν εἰπεῖν μὴ ἀπιοῦσιν ἐκ τῆς Βοιωτῶν γῆς, (οὐ γὰρ ἐν τῇ ἐκείνων ἔτι εἶναι, ἐν ᾗ δὲ δορὶ ἐκτήσαντο,) ἀλλὰ κατὰ τὰ πάτρια τοὺς νεκροὺς σπένδουσιν ἀναιρεῖσθαι.*
99. *οἱ δὲ Βοιωτοὶ ἀπεκρίναντο, εἰ μὲν ἐν τῇ Βοιωτίᾳ εἰσίν, ἀπιόντας ἐκ τῆς ἑαυτῶν ἀποφέρεσθαι τὰ σφέτερα, εἰ δὲ ἐν τῇ ἐκείνων, αὐτοὺς γιγνώσκειν τὸ ποιητέον, νομίζοντες τὴν μὲν Ὠρωπίαν, ἐν ᾗ τοὺς νεκροὺς ἐν μεθορίοις τῆς μάχης γενομένης κεῖσθαι ξυνέβη, Ἀθηναίων κατὰ τὸ ὑπήκοον εἶναι, καὶ οὐκ ἂν αὐτοὺς βίᾳ σφῶν κρατῆ-*

ἕτερος λόγος τῶν Βοιωτῶν.

§ 8. *Σπένδουσιν.* Cf. adn.

§. 8. *Σαφῶς τε ... ἀναιρεῖσθαι.* Et iubebant eos (Boeotos) aperte sibi (*σφίσι*, i. e. *τοῖς Ἀθηναίοις*) dicere (licere mortuos asportari) non abeuntibus (i. e. non cum conditione abeundi) ex terra Boeotorum ... sed more patrio foedus ad mortuos tollendos facientibus. Verba *τοὺς νεκροὺς ἀναιρεῖσθαι* proprie non ex *εἰπεῖν* pendere existimanda sunt, cui rei interpositum illis *σπένδουσιν* obstat, sed ex hoc ipso *σπένδ.* apta sunt, ut c. 114. legimus *σπείσασθαι δὲ σφίσιν ἐκέλευον ἡμέραν τοὺς νεκροὺς ἀναιρεῖσθαι*; sed simul ad *εἰπεῖν* eadem aut similia verba cogitanda sunt. Cf. IV, 46, 5. al. Difficultas autem inest in *σπένδουσιν*, in quo, quum *σπένδειν* sit libare, *σπένδεσθαι* foedus icere, medii et activi permutatio invenitur. Ad quam defendendam quum vix suffecerit, quod Eur. Alc. v. 1020. apud nonnullos *ἐσπεισάμην*, pro quo *ἐλειψάμην* alii melius ediderunt (vid. ibi Herm.), legitur, et quod Herodianus V, 1, 4., quem Bornemannus comparavit, *σπείσαντες* pro rectiore *σπεισάμενοι* videtur dixisse, nos *σπένδουσιν* (studentibus) scribendum esse suspicati sumus, idque, si Hofmani verba recte intelligimus, in Mosqu. invenitur. De *δορί* cf. I, 128, 7.

Cap. **99.** *Εἰ μὲν ... τὰ σφέτερα.* Boeoti igitur, ut antea templum, ita tunc agros cum cadaveribus permutari voluerunt, et hac tantum conditione ad inducias faciendas et mortuos reddendos parati erant, si Athenienses Delium relinquerent. Sunt autem haec propterea dicta, quod Athenienses Delium tenentes paulo ante *ἐν τῇ Βοιωτῶν ἔτι εἶναι* negaverant, etsi hoc ratione vana *ἐν ᾗ ... ἐκτήσαντο* confirmatum tantum abest, ut verum sit (cf. 76, 4.), ut pugnae locum Atticae decem stadiis propiorem (90, 4.) in agro Boeotorum esse ipse Hippocrates c. 95. dixerit. — *εἰ δὲ ... ποιητέον.* „*Εἰ δὲ ἐν τῇ οἰκείᾳ, οὐ δεῖν αὐτοὺς ἀπαιτεῖν τοὺς νεκρούς, ἀλλ᾽ ἐλθόντας λαμβάνειν.*“ ΔΟΥΚΑΣ. De *ἐκείνων* pronomine cf. adn. II, 7, 2. 11, 6. — *κατὰ τὸ ὑπήκοον.* „I. e. *διὰ τὸ ὑπήκοον, ὅτι τοῖς Ἀθηναίοις ὑπήκοος ἦν.*“ AE. PORT. Cf. adnot. c. 91. — *καὶ οὐκ ἂν ... αὐτῶν*, neque tamen eos unquam se invitis potituros illis (cadaveribus). De copulandi particula adversandi vim habenti cf. Kritz. ad Salust. Iug. 107, 3.

σαι αὐτῶν· (οὐδ᾽ αὖ ἐσπένδοντο δῆθεν ὑπὲρ τῆς
ἐκείνων·) τὸ δὲ „ἐκ τῆς ἑαυτῶν“ εὐπρεπὲς εἶναι
ἀποκρίνασθαι „ἀπιόντας καὶ ἀπολαβεῖν ἃ ἀπαι-
τοῦσιν.“ ὁ δὲ κῆρυξ τῶν Ἀθηναίων ἀκούσας ἀπῆλ-
θεν ἄπρακτος. 100. καὶ οἱ Βοιωτοὶ εὐθὺς με- 1
ταπεμψάμενοι ἔκ τε τοῦ Μηλιέως κόλπου ἀκον-
τιστὰς καὶ σφενδονήτας, καὶ βεβοηθηκότων αὐ-
τοῖς μετὰ τὴν μάχην Κορινθίων τε δισχιλίων
ὁπλιτῶν καὶ τῶν ἐκ Νισαίας ἐξεληλυθότων Πε-
λοποννησίων φρουρῶν καὶ Μεγαρέων ἅμα, ἐστρά-
τευσαν ἐπὶ τὸ Δήλιον, καὶ προσέβαλον τῷ τει-
χίσματι· ἄλλῳ τε τρόπῳ πειράσαντες καὶ μηχα-
νὴν προσήγαγον, ἥπερ εἷλεν αὐτό, τοιάνδε. κε- 2
ραίαν μεγάλην δίχα πρίσαντες ἐκοίλαναν ἅπασαν
καὶ ξυνήρμοσαν πάλιν ἀκριβῶς, ὥσπερ αὐλόν·
καὶ ἐπ᾽ ἄκραν λέβητά τε ἤρτησαν ἁλύσεσι, καὶ
ἀκροφύσιον ἀπὸ τῆς κεραίας σιδηροῦν ἐς αὐτὸν

ἔπειτα οἱ αὐτοὶ μηχανὴν προσαγαγόντες τὸ Δήλιον αἱροῦσιν.

Walth. ad Tac. Ann. V, 3. et alibi, Hand. Tursell. II. p. 494. sqq., de formula *βίᾳ σφῶν* adn. I, 43, 3. — *οὐδ᾽ αὖ ... ἐκείνων.* Neque vero inducias pro agro, quem illi suum dicerent, facere volebant, *ἵνα μή*, inquit Dukas, *ὁμολογήσωσι τῶν Ἀθηναίων εἶναι τὴν Ὠρωπίαν.* De particulis *οὐδ᾽ αὖ* vid. adn. 87, 5., de imperfecto adn. I, 134, 1., de *δῆθεν* particula adn. I, 92. deque eius collocatione adn. I, 127, 1. — *τὸ δὲ ... ἀπαιτοῦσιν*] *εὐπρεπὲς δὲ εἶναι ἀποκρίνασθαι ἐκ τῆς Βοιωτῶν ἀπιόντας τοὺς Ἀθηναίους ἀπολαβεῖν ἅπερ αἰτοῦσιν.* Schol. Logicum verborum ordinem rhetoricis de causis mutandum fuisse satis liquet. „*Καί* significat etiam: wenn sie abzögen, so sollten sie *auch* bekommen, was sie begehrten.“ BAU., qui hanc particulam similiter 100, 1. post participium legi addit. Articulum *τό* cave ne invita collocatione ad *ἀποκρίνασθαι* referas, quum is sit, de quo Matth. Gr. §. 280. egit.

Cap. **100**. §. 1. *Μεταπεμψάμενοι ἔκ τε* cet. De collocatione verborum cf. adn. I, 16. — *ἐκ τοῦ Μηλιέως κόλπου.* Ut videtur, ex foederatis Trachiniis (cf. III, 92.) atque ex amicis Aetolis, quorum Callienses in hunc sinum versus pertinebant (cf. III, 96.). Aetolos peritos iaculatores fuisse didicimus III, 96. 97. Similiter Trachinii et reliqui Melienses tunc boni erant velites; *οὐ μὴν οὐδὲ Μαλιεῦσι παρέμεινε μελέτη τῶν τόξων*, teste Paus. I, 23, 4. — *τῶν ἐκ ... φρουρῶν.* Cf. c. 69.

§. 2. *Κεραίαν*, i. e. *δοκόν.* Cf. adn. II, 76, 4. „Inter alia exempla *ἐκφράσεως* etiam hunc locum proponit Theon. Progymn. c. 11.“ DUK. — *δίχα πρίσαντες.* Quod terebra defuerit, rem ita factam esse adnotat Bloomf. Illa tamen iam Homeri aetate nota fuit. Cf. Od. IX, 385. et al. — *ἐπ᾽ ἄκραν (τὴν κεραίαν) ... ἤρτησαν.* Saepius *ἀρτᾶν* et similia verba cum aliis praepositionibus iungi vidimus II, 76, 4. et in adn. III, 81, 3. — *ἀκροφύσιον*, fistulam ad flatum ciendum, quae vis huius vocabuli ab Hesych. et aliis grammaticis Graecis illustratur. Distinguitur a follibus §. 3. Deinde *ἀπό* est von ... her. — *καθεῖτο*, demissa erat, ging hinunter. Cf. adnot. 103, 5. — *ἐπὶ μέγα ... τοῦ ἄλλου ξύλου.* Cf. adn. II, 76, 4. et de *ἄλλος* adn. I, 128, 5.

§. 3. *Ἐκ πολλοῦ*, e longinquo. — *τῇ ἀμπέλῳ καὶ τοῖς ξύλοις.* Cf. 90, 2. et ibi adn.

§. 4. *Στεγανῶς*, i. e. per fistulam cavatam. — *τοῦ τείχους.* Est genitivus partitivus.

§. 5. *Τῶν δὲ ἄλλων τὸ πλῆθος.* Ceterorum Delii praesidiariorum maior pars debet esse, quum de reliquo exercitu iam c. 96. extr. actum sit. Clarius Diod. l. d. *τῶν δὲ φρουρούντων τὸ Δήλιον οἱ πλείους* (quod non verum videtur) *μὲν μαχόμενοι γενναίως ἀπέθανον, διακόσιοι δὲ ἥλωσαν, οἱ δὲ λοιποὶ κατέφυγον εἰς τὰς ναῦς καὶ διεκομίσθησαν μετὰ τῶν ἄλλων* (quod post pugnam infelicem *διατεῖναι πρὸς τὰς ἰδίας ναῦς* dixit) *εἰς τὴν Ἀττικήν.*

Cap. **101**. §. 1. *Ἑπτακαιδεκάτῃ ἡμέρᾳ.* Quum idem numerale VII, 28. legatur, Krueger frustra *ἑβδόμῃ καὶ δεκάτῃ* coniecit, etsi plerumque *παρατάξει* in talibus numeris Thucydides utitur. Cf. ad. I, 87, 6. — *τοῦ κήρυκος ... αὖθις.* Cf. 97, 2.

§. 2. *Ἱπποκράτης.* Hipponicum orationis contra Alcib. §. 13. auctor male nominat. Cf. ed mai.

νεῦον καθεῖτο, καὶ ἐσεσιδήρωτο ἐπὶ μέγα καὶ
3 τοῦ ἄλλου ξύλου. προσῆγον δὲ ἐκ πολλοῦ ἁμάξαις
τῷ τείχει, ᾗ μάλιστα τῇ ἀμπέλῳ καὶ τοῖς ξύλοις
ᾠκοδόμητο· καὶ ὁπότε εἴη ἐγγύς, φύσας μεγάλας
ἐσθέντες ἐς τὸ πρὸς ἑαυτῶν ἄκρον τῆς κεραίας
4 ἐφύσων. ἡ δὲ πνοὴ ἰοῦσα στεγανῶς ἐς τὸν λέβητα,
ἔχοντα ἄνθρακάς τε ἡμμένους καὶ θεῖον καὶ πίσ-
σαν, φλόγα ἐποίει μεγάλην, καὶ ἧψε τοῦ τείχους,
ὥστε μηδένα ἔτι ἐπ᾽ αὐτοῦ μεῖναι, ἀλλὰ ἀπολι-
πόντας ἐς φυγὴν καταστῆναι, καὶ τὸ τείχισμα
5 τούτῳ τῷ τρόπῳ ἁλῶναι. τῶν δὲ φρουρῶν οἱ
μὲν ἀπέθανον, διακόσιοι δὲ ἐλήφθησαν· τῶν δὲ
ἄλλων τὸ πλῆθος ἐς τὰς ναῦς ἐσβὰν ἀπεκομί-
1 σθη ἐπ᾽ οἴκου. 101. τοῦ δὲ Δηλίου ἑπτακαιδε-
κάτῃ ἡμέρᾳ ληφθέντος μετὰ τὴν μάχην, καὶ τοῦ
ἀπὸ τῶν Ἀθηναίων κήρυκος, οὐδὲν ἐπισταμένου
τῶν γεγενημένων, ἐλθόντος οὐ πολὺ ὕστερον αὖ-
θις περὶ τῶν νεκρῶν, ἀπέδοσαν οἱ Βοιωτοὶ καὶ
2 οὐκέτι ταὐτὰ ἀπεκρίναντο. ἀπέθανον δὲ Βοιω-
τῶν μὲν ἐν τῇ μάχῃ ὀλίγῳ ἐλάσσους πεντακοσίων,
Ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους χιλίων καὶ Ἱππο-

οἱ νεκροὶ ἀποδίδονται. ἀριθμὸς τῶν ἀποθανόντων.

κράτης ὁ στρατηγός, ψιλῶν δὲ καὶ σκευοφόρων
πολὺς ἀριθμός.

Δημοσθένης ἐς τὴν Σικυωνίαν ἀπόβασιν ποιεῖται.

Μετὰ δὲ τὴν μάχην ταύτην καὶ ὁ Δημοσθέ- 3
νης ὀλίγῳ ὕστερον, ὡς αὐτῷ τότε πλεύσαντι τὰ
περὶ τὰς Σίφας τῆς προδοσίας πέρι οὐ προὐχώ-
ρησεν, ἔχων τὸν στρατὸν ἐπὶ τῶν νεῶν τῶν τε
Ἀκαρνάνων καὶ Ἀγραίων, καὶ Ἀθηναίων τετρα-
κοσίους ὁπλίτας, ἀπόβασιν ἐποιήσατο ἐς τὴν Σι-
κυωνίαν. καὶ πρὶν πάσας τὰς ναῦς καταπλεῦσαι, 4
βοηθήσαντες οἱ Σικυώνιοι τοὺς ἀποβεβηκότας
ἔτρεψαν καὶ κατεδίωξαν ἐς τὰς ναῦς, καὶ τοὺς
μὲν ἀπέκτειναν, τοὺς δὲ ζῶντας ἔλαβον· τροπαῖον
δὲ στήσαντες τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν.

Σιτάλκου θάνατος.

Ἀπέθανε δὲ καὶ Σιτάλκης Ὀδρυσῶν βασιλεὺς 5
ὑπὸ τὰς αὐτὰς ἡμέρας τοῖς ἐπὶ Δηλίῳ, στρατεύ-
σας ἐπὶ Τριβαλλοὺς καὶ νικηθεὶς μάχῃ. Σεύθης
δὲ ὁ Σπαραδόκου, ἀδελφιδοῦς ὢν αὐτοῦ, ἐβασί-
λευσεν Ὀδρυσῶν τε καὶ τῆς ἄλλης Θρᾴκης, ἧςπερ
καὶ ἐκεῖνος.

Cap. **101**. §. 5. *Σπαραδόκου.* D. *Σπαραδίκου.* Mosqu. *Περσίδιν.* Nihil ex his verum. Cf. adn.

— *ψιλῶν ... πολὺς ἀριθμός.* Ne haec cum c. 94. extr. pugnent, Haack. lixis adiectis maxime numerum auctum, Bloomf. levis armaturae milites in fuga ab equitibus Boeotis interfectos esse arbitratur. Goeller certe Atheniensibus defuisse tantum *ψιλοὺς ἐκ παρασκευῆς ὡπλισμένους* affirmans errat, vel difficultatem male explicat; nam pugnae ex aliis quoque leviter armatis non interfuisse nisi paucos Thucydides dixit c. 94.

§. 3. *Ὡς αὐτῷ ... προὐχώρησεν.* Cf. c. 89. — *Ἀκαρνάνων καὶ Ἀγραίων.* Vid. c. 77. — *καὶ Ἀθηναίων ... ὁπλίτας.* „Ante haec verba comma posui, ut omnes hos quadringentos gravis armaturae milites classiarios quadraginta navium Atticarum, quibus Demosthenem in sinu Corinthio praepositum esse c. 77. legimus, fuisse ostenderem.“ ARN. Cf. plura in ed. mai. et de numero classiariorum adn. III, 95.

§. 5. *Ἀπέθανε ... Σιτάλκης.* A percussore, quocum Athenienses amicitiam iunxerint, interfectus esse dicitur in Philipp. Epist. §. 9. Cf. Iacobs, ad translat. Demosth. orat. publ. pag. 528. — *Ὀδρυσῶν.* *Ὁ Ὀδρυσῶν* postulat consuetudo Thucydidis. Cf. ed. mai. ad II, 74, 2. — *ὑπὸ τὰς ... Δηλίῳ.* Simillime 129, 2: *ὑπὸ τὸν αὐτὸν χρόνον τοῖς ἐν τῇ Λύγκῳ.* — *Τριβαλλούς.* Cf. II, 96, 4. — *Σπαραδόκου.* Immo *Σπαρδόκου* seu *Σπαρδάκου*, sicut libri II, 101, 5., ubi cf. sd. — *ἧςπερ ... ἐκεῖνος.* Cf. II, 96. 97.

Βρασίδας στρατεύει ἐς Ἀμφίπολιν. παρέκβασις περὶ τῆς κτίσεως, τοῦ τόπου καὶ τοῦ ὀνόματος ταύτης τῆς πόλεως.

1 **102.** Τοῦ δ' αὐτοῦ χειμῶνος Βρασίδας ἔχων
τοὺς ἐπὶ Θρᾴκης ξυμμάχους ἐστράτευσεν ἐς Ἀμ-
φίπολιν τὴν ἐπὶ Στρυμόνι ποταμῷ Ἀθηναίων
2 ἀποικίαν. τὸ δὲ χωρίον τοῦτο, ἐφ' οὗ νῦν ἡ πό-
λις ἐστίν, ἐπείρασε μὲν πρότερον καὶ Ἀρισταγόρας
ὁ Μιλήσιος φεύγων βασιλέα Δαρεῖον κατοικίσαι,
ἀλλὰ ὑπὸ Ἠδώνων ἐξεκρούσθη· ἔπειτα δὲ καὶ οἱ
Ἀθηναῖοι ἔτεσι δύο καὶ τριάκοντα ὕστερον ἐποί-
κους μυρίους σφῶν τε αὐτῶν καὶ τῶν ἄλλων τὸν
βουλόμενον πέμψαντες, οἳ διεφθάρησαν ἐν Δρα-
3 βήσκῳ ὑπὸ Θρᾳκῶν. καὶ αὖθις ἑνὸς δέοντι τρια-
κοστῷ ἔτει ἐλθόντες οἱ Ἀθηναῖοι, Ἅγνωνος τοῦ
Νικίου οἰκιστοῦ ἐκπεμφθέντος, Ἠδῶνας ἐξελά-
σαντες ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ πρότερον
4 Ἐννέα ὁδοὶ ἐκαλοῦντο. ὡρμῶντο δὲ ἐκ τῆς Ἠιό-
νος, ἣν αὐτοὶ εἶχον ἐμπόριον ἐπὶ τῷ στόματι τοῦ
ποταμοῦ ἐπιθαλάσσιον, πέντε καὶ εἴκοσι σταδίους

Cap. **102**. §. 3. *Ἠδῶνας*, ut II, 99., Cl. Reg. Mosqu. Ar. Chr. Bekk., qui in ed. ster. vulgatum *Ἤδωνας* ex solo m. affert. Utra scribendi ratio probanda sit, dubium videtur. Cf. sd. IV, 109. V, 6. et adn. I, 100. 3.

§. 4. *Ἠιόνος.* Cf. sd. I, 98, 1.

Cap. **102**. §. 1. *Τοὺς ἐπὶ Θρᾴκης ξυμμάχους.* Cf. adn. I, 56, 2. — *Ἀμφίπολιν.* De universis huius urbis rebus vid. Clint. Fast. Hell. Append. IX. p. 275. sqq. et alios in ed mai. laudatos.

§. 2. *Τὸ δὲ χωρίον τοῦτο* cet. Cf. Diod. XII, 68. — *Ἀρισταγόρας.* „Vid. Herod. V, 11. et 124.“ DUK. — *ἔτεσι ... ὕστερον.* De anno rei cf. adn. I, 100, 3. extr. et hic paulo post §. 3. Antea ad *οἱ Ἀθην.* nominativum suppl. *ἐπείρασαν κατοικίσαι.* — *ἐποίκους.* Cf. adn. II, 27, 1. — *διεφθάρησαν ἐν Δραβήσκῳ.* Cf. I, 100, 3. et ibi adn. In situ definiendo a Leakio dissentit Tafel de viae Egnatiae parte orient. p. 10. Inter Philippos et Strymonem fuisse quum ex Appi. Civ. IV, 105. appareat, locus in Kiepertii tabula ei assignatus probari non potest.


§. 3. *Ἑνὸς δέοντι τριακοστῷ ἔτει.* Euthymene archonte sive Ol. LXXXV, 4., a. Chr. 437. Vid. Diod. XII, 32. Schol. Aeschin. pag. 755. Reisk. Clint. ad h. a. Krueg. Stud. histor. p. 146. — *Ἅγνωνος ... ἐκπεμφθέντος.* De modo, quo hic illo loco potitus sit, vid. Polyaen. Strateg. VI, 53., de monumentis eius Thuc. V, 11., de aliis rebus ab eo gestis Ind. verb. — *Ἐννέα ὁδοί.* Cf. I, 100, 3. — *ἐκαλοῦντο.* Cf. Matth. Gr. §. 305. Rost. §. 100. 4. g., de Latinis Krueg. Gr. §. 294. adn. 3.

§. 4. *Πέντε καὶ εἴκοσι σταδίους.* Diod. cap. 73. *ὡς τριάκοντα.* Ab ostiis Strymonis *τὸν ἀνάπλουν εἰς Ἀμφίπολιν κ' σταδίων* esse dicit Strab. in l. VII.

ἀπέχον ἀπὸ τῆς νῦν πόλεως, ἣν Ἀμφίπολιν Ἅγνων ὠνόμασεν, ὅτι ἐπ' ἀμφότερα περιῤῥέοντος τοῦ Στρυμόνος, διὰ τὸ περιέχειν αὐτήν, τείχει μακρῷ ἀπολαβὼν ἐκ ποταμοῦ ἐς ποταμὸν περιφανῆ ἐς θάλασσάν τε καὶ τὴν ἤπειρον ᾤκισεν. **103.** ἐπὶ 1 ταύτην οὖν ὁ Βρασίδας ἄρας ἐξ Ἀρνῶν τῆς Χαλ-

ἐφ' ἣν πορευθεὶς ὁ Βρασίδας προδοσίᾳ

Fragm. ed. Kram. — *Ἀμφίπολιν ... ὠνόμασεν.* Caussam nominis in verbis *ὅτι περιφανῆ ἐς θάλασσάν τε καὶ τὴν ἤπειρον ᾤκισεν* inesse debere orationis conformatio videtur docere. Quare a city looning down two ways interpretatur Arn. At Stephanus Byz. certe magis ad verba *ἐπ' ἀμφότ. περιῤῥ.* respiciendum existimavit *διὰ τὴν περίῤῥοιαν τοῦ Στρυμόνος* vocari dicens. Cf. etiam Lob. Paral. Gr. II. p. 382. — *ἐπ' ἀμφότερα περιῤῥέοντος τοῦ Στρυμόνος.* Ex his verbis et proximis *ἐκ ποταμοῦ ἐς ποταμόν* Strymonem prope Amphipolim in duas partes dividi et delta quoddam facere, in quo urbs sita esset, collegerunt Gatterer et Mannert. Geogr. VII. p. 236. Voemelius autem Prolegom. in Demosth. or. Philipp. p. 33. quum Strymonem non duobus, sed uno brachio in mare profluere ex geographis recentioribus didicisset, illis partibus urbem ut insulam cinctam esse finxit. Quod si verum esset, Hagnon non murum *ἐκ ποταμοῦ ἐς ποταμόν, διὰ τὸ περιέχειν τὴν πόλιν*, exstruxisset. Omnino autem Strymonis e Cercinitide palude (hodie Takino) effluentis brachia nulla esse aut per naturam loci esse potuisse clarissime docet Cousinery Maced. I., quem de ruinis Amphipolis prope Jenikoei (Jeni-kievi, Graece Neochori) sitis vid. p. 122. sqq. Ideo igitur Strymonem utrimque (i. e. a duobus lateribus) circumfluere dici, quia flexus eius illic esset, Cousin. et Arn. intellexerunt. — *διὰ τὸ περιέχειν αὐτήν*, „quo urbem plane cingeret (flumine utrimque clausam, tunc et muro claudendam).“ BAU., qui deteriorem explanationem addit. Iungenda haec sunt cum vv. *τείχει ἀπολαβών*, et de *διά* praepositione cf. II, 89, 4. — *τείχει ... ἐς ποταμόν*, muro longo a fluvio ad fluvium ducto circumseptam, propr. a reliqua terra separatam. Cf. adn. I, 7. „Strymon a septentrione veniens ab hac parte in urbem se illidit, inde autem in occidentem Cerdylii montem sequens declinat. [Quem collem posteaquam ambiit, in meridiem flectitur.] Haec cursus mutatio effecit, ut Thuc. verbis *ἐκ ποταμοῦ ἐς ποταμόν* uteretur.“ COUSIN. l. d. p. 127. „Si recte se habet tabula Barbiei du Bocage, hoc modo: ABC Strymon, ADC *τεῖχος*.



Coniicio in Strymone flexum esse [talem], ut collem sive rupem prope cingat, i. e. collem situm esse alicubi in spatio ABCD.“ DOBR. — *περιφανῆ ... ἤπειρον.* Quum urbs partim in clivo septentrionali, partim in clivo australi eius, quem diximus, collis sita esset. Cf. Dobr. et Arn. et adn. V, 10, 2.

Cap. **103.** §. 1. *Ἀρνῶν.* Cf. Steph. in v. *Ἄρνη.* Calarna aliorum putatur esse. Ab ostio Bolbes paludis non multum abfuisse ex Thucydidis narratione intelligi-

κιδικῆς ἐπορεύετο τῷ στρατῷ. καὶ ἀφικόμενος περὶ δείλην ἐπὶ τὸν Αὐλῶνα καὶ Βρομίσκον, ᾗ ἡ Βόλβη λίμνη ἐξίησιν ἐς θάλασσαν, καὶ δειπνο-
2 ποιησάμενος ἐχώρει τὴν νύκτα. χειμὼν δὲ ἦν καὶ ὑπένειφεν· ᾗ καὶ μᾶλλον ὥρμησε βουλόμενος λαθεῖν τοὺς ἐν τῇ Ἀμφιπόλει πλὴν τῶν προδι-
3 δόντων. ἦσαν γὰρ Ἀργιλίων τε ἐν αὐτῇ οἰκήτορες (εἰσὶ δὲ οἱ Ἀργίλιοι Ἀνδρίων ἄποικοι) καὶ ἄλλοι, οἳ ξυνέπρασσον ταῦτα, οἱ μὲν Περδίκκᾳ
4 πειθόμενοι, οἱ δὲ Χαλκιδεῦσι. μάλιστα δὲ οἱ Ἀργίλιοι, ἐγγύς τε προσοικοῦντες καὶ ἀεί ποτε τοῖς Ἀθηναίοις ὄντες ὕποπτοι καὶ ἐπιβουλεύοντες τῷ χωρίῳ, ἐπειδὴ παρέτυχεν ὁ καιρὸς καὶ Βρασίδας ἦλθεν, ἔπραξάν τε ἐκ πλείονος πρὸς τοὺς ἐμπο-

Ἀργιλίων, οἳ τῶν Ἀθηναίων ἀφίστανται, τὴν γέφυραν τοῦ Στρυμόνος διαβαίνει, καὶ τὰ ἔξω τῶν Ἀμφιπολιτῶν αἱρεῖ.

Cap. **103.** §. 1. *Βρομίσκον* It. Vat. Mosqu. Bekk. tacitique Aug. et m., sed hic certe vix iure. In H. *Βρομύσκον.* Stephani *Βορμίσκος* videtur esse, et ita scriptum malebat Palmer. Praetulimus certe *Βρομίσκον* vulgato *Βρωμίσκον* utpote Stephaniano similius et sola metathesi consonantis, de qua cf. Rost. Gr. §. 19. et de dial. 4. e., ab eo discrepans.

tur. — *τὸν Αὐλῶνα καὶ Βρομίσκον.* Bromiscus haud dubie est Stephani Byz. Bormiscus, „qui apud hunc dicitur locus esse, ubi Euripides perierit. In itinerario Hierosolymitano [p. 604.] corruptum nomen Peripidis tanquam XX mill. ab Amphipoli distantis invenitur, et subiuncta sunt haec verba: ibi positus est Euripides poeta. Ammianus Marcellinus de eodem loco loquitur, mentionem faciens Arethusae convallis et stationis, in qua visitur Euripidis sepulcrum. XXVII. p. 339. ed. Vales. [Cf. Mannert. Geogr. VII. p. 469. et Taf. de viae Egnat. parte orient. p. 7. sq.] Arethusam convallem et stationem liquet esse Aulonem et Bromiscum Thucyd.“ ARN. „Parvus rivus exit ex Besikia palude et pervadens per hiatum montis in mare effluit. Hic hiatus est in via magna Thessalonica Byzantium ferenti. — Est praesidium in his faucibus. (Vocabantur olim fauces Arethusae, nunc Besikiae, a Turcis Rumili-Boghazi.) Quumque Aulonis nomen satis fauces indicet, Bolben esse Besikiam paludem et Bromiscum prope ostium rivi manifestum est.“ LEAK. Graec. sept. III. p. 169. sq. et pag. 461. Add. Cousin. Maced. I. pag. 117. sq., qui rivum unum fere milliarium longum esse dicit p. 116. — *Βόλβη.* Cf. I, 58, 2. et ibi adn. — *ἐξίησιν.* Cf. sd. I, 46, 4.

§. 2. *Χειμών.* Cf. adn. 6, 1.

